Βηθλεὲμ εἶπε· Πορευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου·
ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐ-
τῷ. 9 οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν· καὶ ἰδοὺ ὁ ἀστὴρ
ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ
ἦν τὸ παιδίον· 10 ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην
σφόδρα. 11 καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εὗρον τὸ παιδίον μετὰ Μα-
ρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοί-
ξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα χρυσὸν καὶ
λίβανον καὶ σμύρναν· 12 καὶ χρηματισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμ-
ψαι πρὸς Ἡρῴδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.
13 Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος Κυρίου φαί- δ´
νεται κατ᾽ ὄναρ τῷ Ἰωσὴφ λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον
καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν
εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό.
14 ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς
καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον, 15 καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴ-

---

*δ´. Δεκ. 24. Παραμονῆς, δ´ ὥρας:* ***Μτ*** *2, 13-23. — Δεκ. 26. Θεοτόκου συνά-ξεως, τὸ αὐτό. — Δεκ. 29. Τῶν νηπίων, τὸ αὐτό. — Τῇ Κυριακῇ μετὰ τὴν Χῦ γέν-νησιν, τὸ αὐτό.*

11 : Ψλμ 71,10.15 Ἠσ 60,6. 13 : Ἐξδ 2,15 Δευτ 23,7. 15 : Ὡσ 11,1.

a c f g1 q syrscpi της ιουδαιας | ουδαμως: D Tat vlt μη | εκ σου: SCDΛ 565 al εξου | μοι c. CKΓ 28 157 443 1675 al arm; ϛKπ etc et. 773 2215 *425* om || 8 ειπεν: D 713 Tat syrscp add αυτοις | ακριβως h. l. c. ϛKπCcEKLM UVΓΔΠ 028 alm Or; BSC*D al ltt sah boh al post εξετασατε | αυτῳ : 157 270 2215 αυτο; *437* αυτον || 9 ειδον: S*CKVΔΠ* alm ιδον | εως: *437* add οὗ | εστη c. ϛKπEKLMUVΓΔΠ 028 al ; BSCD 1 33 399 al Or Eus εσταθη | επανω : syrs Or om | ου : 544 prm του σπηλαιου | ου ην το παιδιον : D vlt του παιδιου || 11 ευρον c. ϛ minpm vlt4 vg; KπBSCDKLMUVΓΔΠ 773 alm *425 437 442* vlt4 syrcph sah boh ειδον (S*CEKVΠ* alm ιδον) | το παιδιον: D ltt etc τον παιδα :: Item v. 13(bis) 14.20.21 | και3 : ltt (—q) om | αυτω : *442* αυτο . σμυρναν: D ζμυρναν || 12 κατ᾽ οναρ : syrsc arm Ef εν οραματι | εις την χωραν αυτων : S* εις την εαυτων χωραν || 13 αυτων: B add εις την χωραν αυτων, syrsc add και μετ᾽ αυτους | φαινεται c.ϛKπSCDEKLMUVΓΔΠ 028 etc; B 372 ltt syrr sah boh arm grg Irint εφανη | κατ᾽ οναρ h. l. c. ϛKπSDELMUVΓΔ 028 alm ltt etc; BCKΠ 773 alm ante φαινεται || 14 ο δε: Tat vltm syrscp add ιωσηφ | εγερθεις: D 33 k vg διεγερθεις (k exsurgens,
25



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δου· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέ-
γοντος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.
[16] Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων ἐθυ- **Β΄**
μώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ
καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν
χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων. [17] τότε ἐπληρώθη τὸ ῥηθὲν
ὑπὸ Ἱερεμίου τοῦ προφήτου λέγοντος·

[18] Φωνὴ ἐν Ραμὰ ἠκούσθη,
θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς·
Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς·
καὶ οὐκ ἤθελε παρακληθῆναι ὅτι οὐκ εἰσί.

[19] Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου, ἰδοὺ ἄγγελος Κυρίου κατ᾽
ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ [20] λέγων· Ἐγερθεὶς παράλαβε
τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τε-
θνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. [21] ὁ δὲ ἐγερθεὶς
παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ·
[22] ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρῴ-
δου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ᾽
ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας, [23] καὶ ἐλθὼν κατῴκησεν

---

**Β΄. Περὶ τῶν ἀναιρεθέντων παίδων.**

17 : Ἰερμ 31,15. 18 : Γεν 35,19. 20 : Ἐξδ 4,19. 23 : Λκ 1,26. 2,39 Ἠσ 11,1. 53,2 Ἰω 1,46.

vg cousurgens) || [15] ηρωδου: syrsc add του βασιλεως | του[1] c. ς Kπ EKLMUV 028 alm; BSCDZΓΔΠ al om | δια: syrs add του στοματος ησαϊου | του[2]: Δ om | λεγοντος: Irint om || [16] και εν usque αυτης: *437* om | κατωτερω : D ltt κατω || [17] υπο ιερεμιου c. ς KπEKLMUVΓΔΠ(Π* υπο του ιερ.) 028 alm syrhm ; BSCDZ al10 *425* ltt etc δια ιερεμιου, quibus D alp prm υπο (al add του) κυριου || [18] θρηνος και c. ς KπCDEKLMUVΓΔΠ 028 alm syrsch arm grg ; BSZ 1 22 ltt syrpi sah boh al Iust om | οδυρμος : Z βρυγμος | ηθελε c. ς KπBSCEKLMUVΓΔΠ alfomn ; DZ alp ltt ηθελησεν || [19] κατ᾽ οναρ h. l. c. ς KπCEKLMUVΓΔΠ 028 alm syrh; BSDZ alm a c g[1] k q vg sah al post φαινεται || [21] εγερθεις: D 33 k διεγερθεις | ηλθεν c. ς KπDEKLMUVΓΔΠ 028 alfomn ltt etc ; BSC 157 273 399 al boh εισηλθεν | γην : D prm την | ακουσας : 1424 μαθων || [22] επι c. ς KπCDEKLMUVΓΔΠ 028 alm ; BS 2215 alm *437* arm Eus om | ηρωδου h. l. c. ς KπCcDEKLMUVΓΔΠ 028 etc; BSC* post αυτου | κατ᾽ οναρ: syrc ἐν οραματι || [23] ναζαρετ c. ς KπBSDL 028 etc; CEKMUVΓΠΣ 291 565 773 788 alm *425* vltm vg syrr sah boh arm al ναζαρεθ; Δ 1 ναζαραθ | δια: Sc υπο | των προφητων : Tat a b f ff k l syrscp grg του προφητου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ
26

εἰς πόλιν λεγομένην Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προ-
φητῶν ὅτι Ναζωραῖος κληθήσεται.
7γ *3* [1]Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάν- **ε´ Γ´**
νης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας [2]καὶ λέγων·
Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. 8α [3]οὗτος γάρ ἐ-
στιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου λέγοντος·

Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·
Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου,
εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

9ς [4]αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου,
καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν
ἀκρίδες καὶ μέλι ἄγριον.
[5]Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία
καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, [6]καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορ-
δάνῃ ὑπ᾽ αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. 10ε [7]Ἰδὼν
δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βά-
πτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν
φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; [8]ποιήσατε οὖν καρποὺς ἀξίους τῆς

---

**Γ´. Ὅτι πρῶτος Ἰωάννης ἐκήρυξε βασιλείαν οὐρανῶν.**

**ε´.** *Τῷ Σαββάτῳ πρὸ τῶν Φώτων: Μτ 3, 1-6. — Ἰαν. 5. Παραμονῆς, ὥρας α´, τὸ αὐτό.*

*3*, 1-12: Μρκ 1,1-8 Λκ 3,3-18 Ἰω 1,6ἑ. 1: Λκ 1,13. 2: 4,17. 3: 4,17. Ἡσ 40,3 Ἰω 1,23. 4: Βασιλ Δ 1,8. 7: 12,34. 23,33 Γεν 3,15.

*3*,1 δε c.ϛKπBSCUΓ alm vltm vg syrph sah boh etc; DEKLMVΔΠΣ 028 7 565 713 788 alm b ff1 g1 k q syri boh arm tol om | ιωαννης: B*D ιωανης (item B v.4) || 2 και c.ϛKπCDEKLMUVΓΔΠ 028 etc; BS g2 q sah boh Hil om || 3 ουτος: 700 αυτος | γαρ: 1 al syrs om | υπο c. ϛKπEKLMUVΓΔΠ 028 etc; BSCD 1 12 33 124 157 209 al ltt etc δια; Irint υπο κυριου δια του προφητου | φωνη βοωντος εν τη ερημω: syrs om | αυτου: Tat b syrc Irint του θεου ημων :: syrs k om ευθειας usque αυτου || 4 τροφη: *437* προφη(τοις)! | αυτου3 h.l c.ϛKπEKLMUVΓΔΠ 028 etc; BSCD 1 209 post ην | αγριον: syrsi Ef των ορεων, syrc της ερημου || 5 εξεπορευετο: 346 472 εξεπορευοντο | ιεροσολυμα: 1 892 1424 al arm prm πασα η || 6 εβαπτιζοντο: $C_c$ 33 Hil add παντες | ιορδανη c ϛKπDEKLUVΓΘΠ 028 28 565 1689 alm ltt arm grg Or; BSC*MΔ alm syrr sah boh Or al add ποταμω | υπ'αυτου: S* om || 7 πολλους: 1424 add οχλους | ερχομενους: 13 543 om | αυτου c. ϛKπScCDEKLMUVΓΔΠ 028 etc; BS* *437* sah Or Hil om || 8 καρπους αξιους c.ϛLU alm a g2 m syrscp; KπBSCDsEKM
27



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μετανοίας, [9]καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς Πατέρα ἔχομεν τὸν ᾿Α-
βραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖ-
ραι τέκνα τῷ ᾿Αβραάμ. [10]ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ρίζαν τῶν
δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτε-
ται καὶ εἰς πῦρ βάλλεται. 11α [11]ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς
μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ
εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύ-
ματι ἁγίῳ καὶ πυρί. 12ε [12]οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ δια-
καθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀπο-
θήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.

13ι [13]Τότε παραγίνεται ὁ ᾿Ιησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ ϛ'
τὸν ᾿Ιορδάνην πρὸς τὸν ᾿Ιωάννην τοῦ βαπτισθῆναι ὑπ᾿ αὐτοῦ· [14]ὁ
δὲ ᾿Ιωάννης διεκώλυεν αὐτὸν λέγων· ᾿Εγὼ χρείαν ἔχω ὑπὸ σοῦ βα-
πτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; [15]ἀποκριθεὶς δὲ ὁ ᾿Ιησοῦς εἶπε
πρὸς αὐτόν· ῎Αφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν, πληρῶσαι πᾶ-
σαν δικαιοσύνην. τότε ἀφίησιν αὐτόν. 14α [16]καὶ βαπτισθεὶς ὁ ᾿Ιη-
σοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδού, ἀνεῴχθησαν αὐτῷ οἱ
οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν

---

*ϛ'. ᾿Ιαν. 6. Θεοφανίων: Μτ 3, 13-17.*

9: Ρωμ 2,28-29. 4,12 ᾿Ιω 8,33.39. 10: 7,19. Λκ 13,6-9 ᾿Ιω 15,6. 11: ᾿Ιω 1,15.26.27.33 Πρξ 1,5. 12: 13,30. 13-17: Μρκ 1,9-11 Λκ 3,21-22 ᾿Ιω 1,31-34.

VΓΔΠ 028 773 2215 alm *437 442* vltm vg syrh sah boh Or Irint καρπον αξιον || [9] δοξητε: 1424 1689 al syri αρξησθε | δοξητε λεγειν: syrsc λεγετε | εν εαυτοις: g syrs Or Af Chr om || [10] και1 c.ϛKπEKLUVΓΠ 028 alm syrh; BSC DsMΔ al d syrcp sah boh al Or Ir om | την ριζαν: Tat vltm syrs grg Clm al τας ριζας || [11] μεν: S add γαρ βαπτιζω υμας εν υδατι c.ϛKπCDsEKLMUV ΓΔΠ alm vltm (et. d) Or(bis) etc ; BS 1 33 209 ff1 g2 m am for Iust Or Cyp etc υμας βαπτιζω εν υδατι; Sc Or υμας εν υδατι βαπτίζω; Clm υμας υδατι βαπτιζω | πνευματι αγιω και πυρι (syrs πυρι και πνευματι αγιω): EFGHVΩ 028 28 213 273 280 892 1424 πνευματι αγιω tantum || [12] αυτου3 c.ϛKπBSCDs KMVΓΔ 028 alm c d f m vg sah boh al Hil; ELU 7 13 399 788 1375 1675 alm vlt5 harl* syrcp arm grg al Iust Ir al om | αποθηκην c. ϛKπSCDsKM VΓΔ 028 alm a c d f q vg sah boh al Iust etc; BELUW 372 443 828 1279 vlt4 harl* syrscph arm grg al Cyr Ambr al add αυτου || [13] παραγινεται: 773 post ιησους || [14] ιωαννης c. ϛKπScCDsEKLMPUVΓΔ 028 etc; BS* sah Eus om || [15] προς αυτον c. ϛKπSCDsEKLMPUVΓΔ 028 etc; B alp vltm vg boh Eus αυτω | ημιν: S* ημας | αφιησιν: c baptizavit || [16] και βαπτισθεις c. ϛKπ CcDsEKLMPUVΓ 028 alm vltm (et.d) syrch Hipp etc; BSC* alp ff1 l vg

28



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἐρχόμενον ἐπ᾽ αὐτόν· 17καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα·
Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα.
15β *4* 1Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ ζ′
Πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. 16ε 2καὶ νηστεύσας ἡμέ-
ρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε· 3καὶ
προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ
λίθοι οὗτοι ἄρτοι γένωνται. 4ὁ δὲ ἀποκριθεὶς εἶπε· Γέγραπται Οὐκ
ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ρήματι ἐκ-

---

ζ′. *Τῷ Σαββάτῳ μετὰ τὰ Φῶτα: Μτ 4, 1-11.*

17: 17,5 Ψλμ 2,7 Ἠσ 42,1.
*4*, 1-11: Μρκ 1,12-13 Λκ 4,1-13. 1 : Ἑβρ 4,15. 2: Ἐξδ 34,28 Βασιλ Γ 19,28. 3: Γεν 3,1-7. 4: Δευτ 8,3 ΣοφΣολ 16,26.

syrp sah boh βαπτισθεις δε :: syrs: τοτε αφιησιν αυτον βαπτισθηναι και βαπτισθεις; syrc: τοτε αφιησιν αυτον βαπτισθηναι και ιησους εβαπτισθη και βαπτισθεις; a g$^{1}$: et cum baptizaretur (iesus) lumen ingens (g magnum) circumfulsit (g fulgebat) de aqua ita ut timerent omnes qui advenerant (g congregati erant). Cf Ep 30,13 Iusttr 88 | ανεβη h.l.c. ϛKπCEKLMPUVΓΔ 028 alm d h m syrh arm; BSDs al vltm vg syrcp sah boh aeth Hipp al post ευθυς | ανεῳχθησαν: B etc Hipp ηνεῳχθησαν | αυτῳ c. ϛKπSᶜCDsEKLMPUVΓΔ 028 etc; BS* tol syrsc sah Irint Hil(bis) Vig om | ειδεν : CDsKLPVΔ alm ιδεν | το πνευμα του θεου c. ϛKπCDsEKLMUVΓΔ 028 etc; BS (et. boh) πνευμα θεου | καταβαινον: D 372 ltt Hil etc add εκ του ουρανου | ωσει: D 983 ως; syrs εν ομοιωματι (περιστερας) | ερχομενον: syrsc Eus μενον | και$^{4}$ c.ϛKπSᶜCDKLMPUVΓΔ 028 alfomn f ff$^{1}$ m vg etc; BS* a b c g$^{2}$ h am tol harl* boh Hil om | επ᾽ : D* 399 ltt εις; C*E* 7 71 273 2215 προς || 17 ιδου: syrsc om | λεγουσα: D vlt syrsc add προς αυτον | ουτος εστιν: D a syrsci Ir συ ει | ο αγαπητος: syrsc και ο αγαπητος μου | ευδοκησα: SCLP alpm *425* ηυδοκησα.

*4*, 1 ὁ c. ϛKπSCDEKLMPVΓ 028 etc; BUΔ 700 om | εις την ερημον : S al post πνευμάτος | πνευματος : syrcp Ef add αγιου || 2 τεσσαρακοντα 1 2 : B*SCLPΔ τεσσερακοντα ; D pri.l. μ′ | νυκτας h. l. c. ϛKπBCEKLMPUVΓΔ 028 etc; SD post τεσσαρακοντα ; (ltt boh al τεσσαρ. ημερας και τεσσαρ. νυκτας); 1 27 348 1573 1606 al syrc Ef om και νυκτας τεσσαρακοντα || 3 προσελθων usque ειπεν c. ϛKπCEKLMPUVΓΔ 028 1424 alm f g$^{1}$ sah syrh al ; BS alp ff$^{1}$ k l vg syrp boh arm aeth Chrmo προσελθων ο πειραζων ειπεν αυτῳ; D a b c g$^{2}$ h προσελθων (D vltp syrsc προσηλθεν) αυτῳ ο πειραζων (D vltp syrsc add και) ειπεν αυτῳ | ειπὲ : Sᶜ ειπὸν || 4 ανθρωπος c. ϛKπKMΓ 028 alpm; BSCDELPUVZΔ alm prm ὁ | επι c. ϛKπBSEKLMPU VΓΔ 028 alm; CD 27 348 399 517 983 1012 1604 alm εν, item ltt utroque
29



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πορευομένῳ διὰ στόματος Θεοῦ. [5]τότε παραλαμβάνει αὐτὸν ὁ διά-
βολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ
ἱεροῦ, [6]καὶ λέγει αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέ-
γραπται γὰρ ὅτι

> Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ
> καὶ ἐπὶ χειρῶν ἀροῦσί σε
> μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

[7]ἔφη αὐτῷ ὁ Ἰησοῦς· Πάλιν γέγραπται Οὐκ ἐκπειράσεις Κύ-
ριον τὸν Θεόν σου. [8]πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄ-
ρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κό-
σμου καὶ τὴν δόξαν αὐτῶν, [9]καὶ λέγει αὐτῷ· Ταῦτα πάντα σοὶ δώσω
ἐὰν πεσὼν προσκυνήσῃς μοι. [10]τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὕπαγε ὀ-
πίσω μου, Σατανᾶ· γέγραπται γὰρ Κύριον τὸν Θεόν σου προσκυ-
νήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. 17ς [11]τότε ἀφίησιν αὐτὸν ὁ
διάβολος· καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.
18δ [12]Ἀκούσας δὲ ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς **η΄**

---

η΄. *Τῇ Κυριακῇ μετὰ τὰ Φῶτα: Μτ 4, 12-17.*

5: 27,53. 6: Ψλμ 90,11-12. 7: Δευτ 6,16. 10 : Δευτ 6,13. 11 : Ἰω 1,51 Ἑβρ 1,6.14. 12-17: Μρκ 1,14-15 Λκ 4,14-15. 12: 14,3 Ἰω 2,12. 4,43.

l. in; k Irint om αλλ' usque θεου | δια: 565 sysc εκ; *437* εκ του | θεοῦ : *437* prm του || [5] ιστησιν c ϛKπEKLMPUVΓΔ 028 alm; BSCDPZ 1 372 al sah boh εστησεν | ιερου: 1093 ναου || [6] λεγει c. ϛKπBSCDEKLUVΓΔ 028 etc; ScZ 157 al vltm vg ειπεν | σεαυτον: C*ΘΣ syrshmi sah boh arm Eus Ef add εντευθεν | περι σου: a syrsht* Ef add του διαφυλαξαι σε | αρουσι: D αιρουσιν || [7] παλιν c.sqq coniung ϛKπCDKLMUZ etc; ScE 33 al vltm c.antecedd | ουκ εκπειρασεις: D ου πειρασεις || [8] δεικνυσιν: S δικνυει; D 372 Tat ltt syrr sah boh εδειξεν | κοσμου (k h syrs add τουτου): 1093 της γης | και την δοξαν αυτων: syrs om || [9] λεγει c. ϛKπEKLMPUVΓΔ 028 etc; BSCDZ al ltt ειπεν | παντα h. l. c. ϛKπCcDEKLMPUVΓΔ 028 alm vvm; BSC*Z al l am for Or (ter) Chrmo post σοι :: syrs post αυτω sic : ταυτας τας βασιλειας και την δοξαν αυτων εορακας· σοι δωσω ταυτα εαν etc | μοι : 157 270 473 565 με || [10] οπισω μου c. KπCcDGELMUZΘ 346 1241 1689 alpm vltm harl* syrs(om μου)cht* sah arm grg Iust Ath Ef al; ϛBSC*KPVΔ 028 1 alm f k vg (harlc) fr syrph boh Or Ign Peal al Irint Tert Hier om | γαρ : ff h k Irint om | διαβολος: syrsc add αχρι καιρου | ιδου : syrs om | προσηλθον και : 157 προσελθοντες | αυτω : syrsc τω ιησου || [12] δε c. BSC*DZ al k am for syrs boh aeth Or (ter) Eus Aug; ϛ[Kπ]CcEKLMPUVΓΔ 028 773 2215 alm *425* vltm etc add ο ι-
30



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν Γαλιλαίαν· 19ζ 13 καὶ καταλιπὼν τὴν Ναζαρέτ, ἐλθὼν κατῴκη-
σεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ
Νεφθαλείμ, 14 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου λέ-
γοντος·

15 Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ,
ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου,
Γαλιλαία τῶν ἐθνῶν,
16 ὁ λαὸς ὁ καθήμενος ἐν σκότει
εἶδε φῶς μέγα,
καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου
φῶς ἀνέτειλεν αὐτοῖς.

20ς 17 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν Δ′
Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. 18 Περιπατῶν θ′
δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφούς, Σίμωνα

---

**Δ′. Περὶ διδασκαλίας τοῦ Σωτῆρος.**

θ′. *Κυριακῇ δευτέρᾳ Ματθαίου: Μτ 4, 18-23. Νο. 30. Ἀνδρέου ἀποστόλου, ὄρθρου, τὸ αὐτό.*

14: Ἠσ 9,1-2. 17: 3,2. 18-22: Μρκ 1,16-20 Λκ 5,1-11 Ἰω 1,40ἑ.

ησους || 13 καταλιπων : DEMZ 1ℓ 33 477 1093 1424 1675 καταλειπων | ναζαρετ c. ςKπBcLΓ 028 alm Or ; S*DEKMUVW 1 27 773 788 alm *425 437* vltm vg boh Or' Eus ναζαρεθ; B*ScCcXZ 33 k Or' ναζαρα; C*PΔ ναζαραθ :: 983 1689 ltt prm πολιν | ελθων κατῳκησεν : syrs ηλθεν | εις : Δ om | καπερναουμ c. ςKπCEKLMPUVWΓΔ 028 alfomn etc; BSDZ 33 ltt sax fr boh Or Ep Nonn καφαρναουμ :: Accedunt passim CRXTΔΞ 065 067 068 083 etc; item 565 prm την, 983 1689 add πολιν | την2 : 372 om | παραθαλασσιαν : S*P 517 713 παρα θαλασσαν | νεφθαλειμ : MΛ 213 565 655 713 boh -λιμ, D barl -λειν (-lin), L-ληµ || 15 γη2 : DWΛ 71 1194 1241 om | νεφθαλειμ : D νεφθαλειν | οδον : ltt ( - g h l) Tat sah οδος | ιορδανου : Tat syrsc add ποταμου | γαλιλαια : D*L vltm (—k al) am for (—fuld al) γαλιλαιας || 16 σκοτει c. ςKπS*CEKLMPUVΓΔ 028 etc; BScD Or σκοτι(ει)ᾳ | ειδε (S* CKLPV alm ιδεν) : D lti ειδον ; Γ ιδετω | φως h. l. c. ςKπDEKLMPUV ΓΔ 028 1424 alm k vg etc; BSC al vltm am for Or Eus Chrmo Cyr ante ειδε | μεγα : syrs om | εν χωρᾳ (773 σκοτει) και σκιᾳ θανατου : syrs εν λυπῃ και εν τῃ σκιᾳ θανατου : syrc εν ταις σκιαις θανατου | ανετειλεν: 1093 επελαμψεν || 17 τοτε : D add γαρ, Eus γουν | ο ιησους : D 16 ιησους; 273 om | μετανοειτε et γαρ : k syrsc Clm Or' Eus om || 18 περιπατων c. ςKπBSCEKLMP UVΓΔΠ 028 etc; D vlt syrsi Eus παραγων (cum transiret) | δε c. KπBSC DKMPUVΓ(γαρ)Π 028 etc ; ςEΔ alpm a c h m vg arm add ο ιησους |
31



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν λεγόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας
ἀμφίβληστρον εἰς τὴν θάλασσαν, ἦσαν γὰρ ἁλιεῖς, 21β [19]καὶ λέγει
αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. [20]οἱ
δέ, εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. 22ς [21]καὶ προβὰς
ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου
καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ
πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς·
[22]οἱ δέ, ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ.

23α [23]Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς διδά- ι'
σκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς
βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ
λαῷ. [24]καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσή-
νεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασά-
νοις συνεχομένους, καὶ δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ πα-
ραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς. [25]καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι

---

*ι'. Τῇ τρίτῃ τῆς α' ἑβδομάδος Ματθαίου: Μτ 4,23-5,13. Ἰαν. 10. Γρηγορίου Νύσσης: Μτ 4,23-5,12α. — Μαΐου 15. Παχωμίου τοῦ μεγάλου καὶ Ἀχιλλίου Λαρίσης: Μτ 4,23-5,13.*

19: 13,47 Ἰεζκ 47,10. 20: 19,27. 22: Βασιλ Γ 19,19-21. 23: Μρκ 1,39 Λκ 4,15.44 Πρξ 10,38. 24: Μρκ 6,55-56. 25: Μρκ 3,7-8.25 Λκ 6,17-19.

παρα : Λ 1573 1579 περι | της γαλιλαιας : syrs om | ειδε : CKLPVΠ* al ιδεν | λεγομενον : Sc 21 27 28 348 726 1573 1604 al Tat syrhm Eus vg καλουμενον; E 892 Chr επικαλουμενον :: syrs om τον λεγομενον πετρον; 1194 om δυο usque λεγομενον | αλιεις : B*S*C αλεεις; item v. 19 || [19] αυτοις : Cc 157 a c h Tat syrcp aeth Cyr add ο ιησους | υμας: Sc D 33 157 372 ltt (—h m) syrp Cyr add γενεσθαι || [20] ευθεως : 251 726 1375 om | τα δικτυα : ΚΛ 16 280 443 544 565 1216 1355 al Tat ltt syrr sah boh add αυτων || [21] εκειθεν : Δ 1573 1604 sah add ολιγον | ειδεν : SCKLVΠ* al ιδεν || [22] το πλοιον : S* add αυτων; ltt (—a f) syrc sah grg τα δικτυα || [23] ολην την γαλιλαιαν c ϛKπ ScDEKMUVΓΔΠ 028 alfomn ltt Eus al; BC 157 syrscph sah boh aeth εν ολη τη γαλιλαια; S* εν τη γαλιλαια | ο ιησους h. l. c. ϛKπCcEKMUVΓΔΠ 028 alm; SC*D alp vltm vg etc post περιηγεν ; B 157 *20* k syrc sah om | διδασκων : S* add αυτους | βασιλειας : 157 add του θεου || [24] απηλθεν : SCΛ 1 33 273 713 998 al *442* syrhm sah boh arm al Or εξηλθεν | αυτου : D ante η ακοη; Δ om | ολην: S 157 983 πασαν | συριαν : Γ συνοριαν | βασανοις συνεχομενους : 267 1424 βασανιζομενους | και δαιμονιζομενους c ϛKπSCcDEKUVΓ Π 028 alm ltt syrcph al; item omisso και BC* 13 174 235 892 983 al sah boh Eus; ΜΔΛ 280 1588 1604 al syrsc om | και σεληνιαζομενους: *442* om | και εθεραπευσεν αυτους (047 add λογω) : D vltm syri και παντας εθεραπευ-
32



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰ-
ουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.
24ι **5** [1]Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος
αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, 25ε [2]καὶ ἀνοίξας τὸ στόμα
αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων·
26ε [3]Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν **Ε′**
ἡ βασιλεία τῶν οὐρανῶν.
[4]Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.
27ι [5]Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.
28ε [6]Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι
αὐτοὶ χορτασθήσονται.
29ι [7]Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.
[8]Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄ-
ψονται.
[9]Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.
[10]Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν
ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
30ε [11]Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ

---

**Ε′. Περὶ τῶν μακαρισμῶν.**

*5-7:* Λκ 6,20-49. *5,* 3: Ἠσ 57,15. 4: Ψλμ 125,5 Ἠσ 61,3 Ἀπκ 7,17. 21,4. 5: Ψλμ 36,11. 7: Ἰακ 2,13. 8: Ψλμ 23,4. 50,12. 72,1 Ἰω Α 3,2-3. 9: ΣΣειρ 4,10 Ἑβρ. 12,14. 10: Πέ Α 3,14. 11: Πέ Α 4,14.

σεν; Tat syrsc και ενι εκαστῳ αυτων τας χειρας επιθεις παντας (Tat om) εθεραπευσεν; k om || [25] αυτῳ : *437 442* τῳ ιησου.

**5** [1] ιδων δε : Θhy και ιδων | προσηλθον : B*S* προσηλθαν | αυτῳ : BΛ 1093 al Or' om || [2] εδιδασκεν: D Or εδιδαξεν | λεγων: Θhy om || [4-5] hoc ordine c. ϛKπBSCEKMUVΓΠ alfomn b f syrsph boh arm aeth Chr Tert ; DΔ 33 543 544 565 700 al a c ff[1] g h k l vg fr syrc Clm Or (Euscan) Ef Nyss (Bas) v. 5 ante v. 4 pon || [4] πενθουντες: S[c] 33 399 713 syri' boh add νυν | αυτοι: 700 om || [5] γην: GL Af add της ζωης || [8] τῃ καρδιᾳ: 655 την καρδιαν || [9] αυτοι c. ϛKπBEKMUVΓΔΠ 028 alm f q am gat syrsch boh al Orint; SCD 13 124 543 788 al vltm vg syrp grg om || [10] δικαιοσυνης: C prm της | εστιν: D εσται || [11] ονειδισωσιν υμας και διωξωσι (SΔ-ξου-) : D 33 Tat h syrc boh Eus διωξουσιν υμας και ονειδισουσιν; k διωξουσιν υμας | ρημα c. ϛ KπCEKMUVΓΔΠ 028 alfomn Tat g syrph grg al Or Const; BSD ltt (−g) syrsi' sah boh Tert Eus Cyr Lcf Hil al om | καθ' υμων : D h k m flor syrcph Const Tert Lcf ante παν | ψευδομενοι c. ϛKπBSCEKMUVΓΔΠ 028 alfomn Tat vlt5 vg syrcph boh arm aeth Const; D vlt6 flor syrs Or Lcf



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἴπωσι πᾶν πονηρὸν ρῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· [12]χαί-
ρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕ-
τω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. 31β [13]Ὑμεῖς ἐστε
τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς
οὐδὲν ἰσχύει ἔτι εἰμὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀν-
θρώπων. 32β [14]Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται **ια'**
πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. [15]Οὐδὲ καίουσι λύχνον καὶ
τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι
τοῖς ἐν τῇ οἰκίᾳ. [16]Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀν-
θρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα
ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

33ι [17]Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προ-
φήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι· 34ε [18]ἀμὴν γὰρ λέγω
ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ ἰῶτα ἓν ἢ μία κεραία οὐ
μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. 35ι [19]ὃς ἐὰν οὖν

---

**ια'**. *Τῇ Κυριακῇ τῶν πατέρων τῆς ζ' οἰκουμ συνόδου: Μτ 5,14-19.— Τῇ Κυριακῇ τῶν πατέρων τῶν ἓξ οἰκουμεν. συνόδων, τὸ αὐτό.—Νο 12. Ἰωάννου τοῦ ἐλεήμονος, τὸ αὐτό.—Ἰαν. 18. Ἀθανασίου τοῦ μεγάλου, τὸ αὐτό.—Ἰαν. 30. Τῶν τριῶν ἱεραρχῶν, τὸ αὐτό.—Μαΐου 2. Ἀθανασίου τοῦ μεγάλου ἀνακομιδῆς, τὸ αὐτό.—Μαΐου 24. Συμεὼν θαυμαστορείτου, τὸ αὐτό.—Ἰουν. 9. Κυρίλλου Ἀλεξανδρείας, τὸ αὐτό.—Αὐγ. 25. Βαρθολομαίου ἀποστόλου λειψάνου τῆς ἐπανόδου, τὸ αὐτό.— Εἰς ἱεράρχας, τὸ αὐτό.*

12: Ἰακ 5,10 Ἑβρ 11,33-38. 13: Μρκ 9,50 Λκ 14,34-35. 14: Ἰω 8,12. 15: Μρκ 4,21. 16: Ἐφ 5,8-9 Φιλπ 2,15 Πέ Α 2,12. 17: 3,15 Ρωμ 3,31. 10,4. 18: Λκ 16,17. 21,33. 19: Ἰακ 2,10 Κορ Α 15,9.

Hil al om | εμου: D a b c g k δικαιοσυνης; syrsc του ονοματος μου || [12] χαιρετε: syrsc prm υμεις | αγαλλιασθε: syrsc add εν εκεινη τη ημερα | τους[1]: b c g h q Tert prm και | τους[2]: Π 346 565 802 1223 1241 1346 2235 om | προ υμων: D add υπαρχοντας (ltt qui fuerunt ante vos); U b c (k) syrsc Tert add οι πατερες αυτων || [13] υμεις: 1579 add γαρ | αλας [1 2]: S αλα [1 2]; B[c] αλας, αλα; D αλα, αλας | αλισθησεται: V αλισθησονται | ετι: DW Tat vltm syrscp sah om | βληθηναι εξω και c. ϛKπDEKMUVΓΔΠ 028 alm ltt etc; BSC 1 33 Or βληθεν εξω || [14] υμεις: Δ add δε | κοσμου: ltt add τουτου || [15]αυτον: *442* om | επι την λυχνιαν: 482 εν τη λυχνια | λαμπει: 945 Clm Thdt φαινει || [16] το φως: Iust Tert Clm Or τα καλα εργα | υμων[2]: 346 om || [18] η μια κεραια: (GL syrs Af) arm ἢ μια κε. εστιν | του νομου: GLΘΣ 348 565 1689 alm syri arm grg Irint Af add και των προφητων | παντα: D post γενηται || [19] εαν (D* om) ουν: 485 659 1093 1391 1588 ουν εαν; ltt εαν γαρ;

34



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς
ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς
δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν. [20]λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιο- **ιβ′**
σύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε
εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
[21]Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις Οὐ φονεύσεις· ὃς δ' ἂν
φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. [22]ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀρ-
γιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν
εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ Ρακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴ-
πῃ Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. [23]Ἐὰν οὖν προσ-
φέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελ-
φός σου ἔχει τι κατὰ σοῦ, [24]ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ
θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ
τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. 36ε [25]Ἴσθι εὐνοῶν τῷ ἀντιδί-
κῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ· μήποτέ σε παραδῷ
ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς

---

**ιβ′**. *Τῇ Τετάρτῃ τῆς α′ ἑβδομάδος Ματθαίου : Μτ 5,20-26.*

21: Ἐξδ 20,13. 21,12 Λευ 24,17 22: Δευτ 17,8 Ἰω Α 3,15. 23: Μρκ 11,25. 25: 6,14-15. 18,35 Λκ 12,58-59.

L 482 syrs εαν | ουτω : D om | εν τη βασιλεια : 1604 εις την βασιλειαν | ουτος : 13 1604 a g k ουτως :: S* 1279 ab ουρανων$^1$ ad ουρανων$^2$, D ad ουρανων$^3$ (v. 20) transil || [20] η δικαιοσυνη h. l. c. ϛKπSU alm Clm' Or al; BSEKLMVΓΔΠ 773 alpm Iust Clm' Const Bas al post υμων | πλειον : S *437 442* πλεον || [21] ερρεθη : B$^c$DEVΓ 2215 alm *437 442 Acg* ερρηθη, K ερριθη || [22] εικη c ϛKπDEKLMUVΓΔ*Π 028 alm vlt syrr boh arm go al psIust Eus Chr Cyr Irint (sed 272 fin: non occides neque irasci quidem praecepit) etc; BS*Δ$^c$ 48 198 vg (—mm) sax fr arm aeth Or Bas psAth Iust Ptol Aug Hier(pelag : in plerisque codd antiquis *sine causa* additum non est) Tert om | ρακα c. ϛKπBS$^c$E uncm alm (et. ρακκα) f$^c$ k vg etc; S*DW a b c (rachab !) d (racha) f* ff$^1$ h q al am fu Tert Cyp etc ραχα | ειπη$^2$ : LΘ 1093 1689 alm ff$^2$ syrsc boh grg add τῳ αδελφῳ αυτου || [23] κἀκει c. ϛKπBSLΓ 028 al Or Chrmo; DEKMUVΔΠ alm Const Cyrhi Chrmontf και εκει || [24] εκει : Tat arm grg Ir Chr om | πρωτον : 983 om | διαλλαγηθι : D καταλλαγηθι | ελθων : 1424 προσελθων | προσφερε : D ltt (−f) Irint προσφερεις || [25] εως : D* om | ου : 28 οτου | εν τη οδῳ h. l. c. ϛKπEKMUVΓΔΠ 028 alm f ff$^1$ g$^2$ k vg syrh sah Clm Ep Chrmontf al; BSDL alp a b c g$^1$ h q syrcp boh arm aeth Ambr etc post μετ' αυτου | ο κριτης : syrs om | σε παραδῳ$^2$ (D* -δωσει, item antea) c. ϛKπDEKLMUVΓΔΠ 028 alm vltm vg
35



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φυλακὴν βληθήσῃ· [26]ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν
ἀποδῷς τὸν ἔσχατον κοδράντην.
37ι [27]Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις Οὐ μοιχεύσεις. **ιγ΄**
[28]ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι
αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. [29]εἰ δὲ ὁ ὀφθαλ-
μός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμ-
φέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά
σου βληθῇ εἰς γέενναν· [30]καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκ-
κοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν
τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. [31]ἐρ-
ρέθη δὲ ὅτι Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ
ἀποστάσιον. [32]ἐγὼ δὲ λέγω ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα
αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἐὰν
ἀπολελυμένην γαμήσῃ μοιχᾶται.

---

**ιγ΄**. *Τῇ Πέμπτῃ τῆς α΄ ἑβδομάδος Ματθαίου : Μτ 5,27-32.*

27 : Ἐξδ 20,14. 28 : Ἰὼβ 31,1 Πέ Β 2,14 ΣΣειρ 9,5. 41,27. 29: 18, 8-9 Μρκ 9,43.47 Κολ 3,5. 31 : 19,3-9 Δευτ 24,3-6. 32: Λκ 16,18 Κορ Α 7,10-11.

syrcph sah boh go Hier; BS alp k arm aeth Ef (Irint) Chr Hil om | βληθηση : C*L βληθης || [26] σοι : 1604 add οτι | αν : KπL 348 1200 1402 2215 *437* ου ; Λ 33 489 945 1207 1606 om | αποδως : L αποδωσεις || [27] ερρεθη: BcDEV ΓΠ* 2215 alm *437 442 Aeg* ερρηθη | τοις αρχαιοις c. ϛKπLMΔΘ 33 273 348 372 713 1689 alpm vlt5 vg syrchti grg Eus Chr Irint; BSDEKUVΓΠ 028 773 alpm a b f k m syrsp boh arm aeth Or Cyr al om || [28] δε : 13 om | υμιν : 983 1689 add μηδε επιθυμησῃς | βλεπων : *Aeg* εμβλεπων ; K(Γ) 157 (372) 477 1093 1606 Clm (Iust Or Eus) εμβλεψας | αυτης c ϛScM alpm Iust Athng Or; KπBDEKLUVΓΔΠ 028 alm *437 442 Aeg* Thphil Or Eus αυτην, item ltt etc; S*PQR uncm 236 440 al Clm Or' Chr Isid Tert om | ηδη : syrsc Ef om | αυτου : B εαυτου || [29] και βαλε : L 1279 om | βληθῃ : D 21 Tat vlt syrsci boh grg απελθῃ || [30] : D syrs om v. | και μη : S* η | βληθῃ εις γεενναν c. ϛKπEGKMUVΓΔΠ 028 alm f go syrph arm Chr; L βληθησει εις την γεενναν; BS alp vltm syrc boh aeth (Or) al εις γεενναν απελθῃ ; δ vltm vg Lcf απελθῃ εις γεεννον || [31] ερρεθη : BcDEGKVΓΠ* 2215 alm *437 442 Aeg* ερρηθη | δε c. ϛKπBScDEGLMUVΓΔ 028 alm ltt etc; S*KΠ alm *437* syrcp arb om | οτι c. ϛEGKMUVΔΠ 028 etc ; KπBSDL alm *437* ltt Chr om | αν : *Aeg* εαν | αυτῃ : 773 αυτην | αποστασιον : 1170 1604 Tat vg syrscpi sah boh βιβλιον αποστασιου || [32] οτι : D k om | ος αν απολυσῃ c.ϛKπ DEGUV 028 773m alm a b g1 h k Augcdd syrsc boh Or (-σει); BSKLMΔ Π 773t 2215 alm *442 Aeg* c f ff1 g2 l m vg go syrph arm aeth Augcdd



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

33 Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις Οὐκ ἐπιορ- ιδ'
κήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου. 34 ἐγὼ δὲ λέγω
ὑμῖν μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ
Θεοῦ· 35 μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ·
μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως·
36 μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν
ἢ μέλαιναν ποιῆσαι· 37 ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ· τὸ δὲ
περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.
38 Ἠκούσατε ὅτι ἐρρέθη Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀ-
δόντα ἀντὶ ὀδόντος. 39 ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονη-
ρῷ· 38ε ἀλλ' ὅστις σε ραπίσῃ ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον
αὐτῷ καὶ τὴν ἄλλην· 40 καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά
σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· 39ι 41 καὶ ὅστις σε ἀγγαρεύ-

---

**ιδ'.** *Τῇ Παρασκευῇ τῆς α' ἑβδομάδος Ματθαίου : Μτ 5,33-41.*

33 : Ἐξδ 20,7 Λευ 19,12 Ἀριθ 30,2. 34 : 23,16-22 Ἠσ 66,1 Πρξ 7,49 ΣΣειρ 23,9. 35 : Ψλμ 47,3. 37 : Κορ Β 1,17 Ἰακ 5,12. 38 : Λευ 24, 19-20. 39-48: Λκ 6,27-36. 39: Ἰω 18,22-23 Λευ 19,18. 40: Κορ Α 6,7.

πας ο απολυων | μοιχασθαι c. ϛKπEKLMUVΔΠ 028 alm; BSD alp Thphyl Or Chr μοιχευθηναι | και ος εαν (S* αν) usque μοιχαται : B alp και ο απολελυμενην γαμησας μοιχαται; D 64 a b k om || 33 παλιν: fu syrs Ir om | ερρεθη: BcDEKMVΠ* 2215 alm *437 442 Aeg* ερρηθη | τοις αρχαιοις: k syrs om | δε: 245 γαρ | τω: L 047 213 715 1604 om | σου: syrs om || 34 θεου: 348 κυριου || 35 ιεροσολυμα : 047 prm τα || 36 μιαν τριχα usque ποιησαι c. ϛKπEKMUVΔ Π 028 alm syrh go; BSL al vltm vg boh aeth arm Cyp Aug al μιαν τριχα (S*EL *442* -χαν) λευκην ποιησαι η (L om) μελαιναν; D 1 k Clm Cyp Aug ποιησαι (D* ποιειν) τριχα μιαν (1 μι. τρ., Clm om μιαν) λευκην η μελαιναν || 37 εστω : BΣ 245 700 998 1375 Eus εσται | ναι ναι ου ου : (L) Θ 213 (g h syrscpi) arm grg Iust Ir Clm Or Eus το ναι ναι και το ου ου | τουτων : 1579 vlt om || 38 ερρεθη : BcDLcKVΠ* 2215 alm *437 442 Aeg* ερρηθη | και: D 13 543 ltt Or om || 39 αντιστηναι : S αντισταθηναι | ραπιση : ϛKπDEGKL MUVΔΠ 028 2215 alfomn Eus Chr ραπισει; BSΣ 33 348 399 700 1424 1579 al *Aeg* ραπιζει | επι c. ϛKπScDEGKLMUVΔΠ 028 alm; BS* 435 Dial Chr εις | δεξιαν: D k syrs Or Ef om , σου h. l. c. ϛEGKLMUVΔΠ 028 alm c g1 k go al; BD vltm vg Eus post σιαγονα; KπS 1 33 127 157 435 775 2215 alm *437 442 Aeg* a f h em Bas Chr Dam Dial Orint om || 40 τω θελοντι : D ο θελων; Λ τον θελοντα | αφες : D αφησεις ; 1093 δος | αυτω : S* 892 sah boh τουτω | ιματιον : S 7 33 713 1187* 1211 1279 *437 442 Aeg* Tat syrr sah boh add σου || 41 οστις : Ir Chr εαν τις | σε: SΔ add εαν, 33 489 add αν | αγ-
37



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σῃ μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο· [42] τῷ αἰτοῦντί σε δίδου, ιε'
καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.
[43] Ἠκούσατε ὅτι ἐρρέθη Ἀγαπήσεις τὸν πλησίον σου καὶ μι-
σήσεις τὸν ἐχθρόν σου. 40ε [44] ἐγὼ δὲ λέγω ὑμῖν: Ἀγαπᾶτε τοὺς
ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε
τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς
καὶ διωκόντων ὑμᾶς· [45] ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν
οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς,
καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. 41ε [46] ἐὰν γὰρ ἀγαπήσητε τοὺς
ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ
ποιοῦσι; [47] καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί πε-

---

**ιε'.** *Τῷ Σαββάτῳ μετὰ τὴν Πεντηκοστήν : Μτ 5,42-48.*

43: Λευ 19,18. 44: Ἐξδ 23,4-5 Ρωμ 12,14.20 Λκ 23,34 Πρξ 7,59-60. 45: Ἐφ 5,1.

γαρευσῃ (ςKπB etc -σει, S ενγαρευσῃ) : D αγγαρευει | μετ' αυτου : D 372 lttm syrs(c grg) Ir add ετι αλλα || [42] τῳ : k Iust prm παντι | σε : S* σοι | διδου c. ςKπEGKLMUVΔΠ 028 etc; BSD 13 124 Clm δος | απο σου: D 318 k Iust Clm om | δανεισασθαι : B*SDΔ etc δανι(L -νη)σασθαι || [43] ερρεθη : BcDEGKM UVΠ* 2215 alm *437 442 Aeg* ερρηθη :: syrc Eus add τοις αρχαιοις || [44] ευλογειτε τους καταρωμενους υμας c. ςKπDEKLMUΔΠ 028 alm c f h go syrph aeth Athng Clm Eus Const Chr; BS 1 660 alp vltm vg sax fr syrsc sah boh Thphyl Ir Or Eus Cyp Dial om | καλως ποιειτε τους μισουντας (Kπ uncm 773 2215 Θhy *425 437 442* τοις μισουσιν) υμας c. ςKπDEKLMU ΔΠ 028 alm vltm vg go syrph arm aeth Const Chr Aug; BS alp k syrsc boh Thphil Athng Clm Or Eus Dial Irint Cyp om | επηρεαζοντων υμας και c. ςKπEKLMUΔΠ 028 alm a b c f h syrph arm Const Chr ; D 157 Eus επηρεαζοντων και ; BS alp k m em syrsc boh aeth Athng Or Cyp Dial Irint al om || [45] υιοι : 655 773 ομοιοι | του εν : D 7 372 399 659 1223 1402 1424 Θhy add τοις | οτι : Tat lttm syrscp Iust Ir Or Tert Hil ος | πονηρους και αγαθους : Tat lttm syrscp sah Or Tert αγα. και πον. | και βρεχει usque αδικους : S* om || [46] αγαπησητε : 2215 Θhy αγαπατε | εχετε : D 372 1689 alm Tat ltt (—g) εξετε | ουχι : S* om | το αυτο c. ςKπBSEKLMUΔΠ 028 alm syrph arm etc; 2215 αυτο ; 1 773 al τουτο ; DZ 33 al h k syrsc boh Cyp Lcf ουτως || [47] : Tat k syrs om v. | ασπασησθε : Eὐ1588 ασπαζησθε | αδελφους c ςBSDZ 1 33 124 372 660 892 1241 alm Tat ltt (—h f) fr sax syrcpi boh aeth arb perss Cyp al; KπEKLMUΔΠ 028 773 2215 Θhy alpm *437 442 Aeg* f h syrh arm go Bas Lcf al φιλους ; 1424 ασπαζομενους υμας ; 399c 1093 φιλουντας υμας | περισσον : *437* περισσοτερον | τελωναι c. ςKπEK LMUWΔΘΠ 028 1 773m 1689 alm Tat h k syrph grg go ; BSDZ 773t al
38



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ϐισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν; 48 Ἔσεσθε οὖν
ὑμεῖς τέλειοι ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι.
42ι *6* 1 Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμ- ιϛ'
προσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰδεμήγε, μισθὸν
οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.
2 Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου ὥσ-
περ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ρύμαις ὅ-
πως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν
μισθὸν αὐτῶν. 3 Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀρι-
στερά σου τί ποιεῖ ἡ δεξιά σου, 4 ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ
κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει
σοι ἐν τῷ φανερῷ.

---

*ιϛ'. Τῷ Σαββάτῳ τῆς τυροφάγου : Μτ 6,1-13.—Εἰς τὴν παννυχίδα τῆς Τρί-της τῆς α' ἑβδομάδος τῶν νηστειῶν, τὸ αὐτό.*

48: Λευ 19,2.
*6*,3: 25,37-40 Ρωμ 12,8.

vltm vg syrchi boh aeth al Bas Cyp Lcf al εθνικοι | ουτω c. ϛKπEKLΔΠ 028 773m 2215 alm *Aeg* h syrch boh; BSDMUWZΛΣ 1 21 28 124 273 348 700 892 1012 1424 Θhy alm *437* k syrp(i') go arm το αυτο ; vltm vg hoc ; g1 haec; 773t ωσαυτως || 48 υμεις : 16 1279 prm και | ωσπερ c. ϛKπDEKMUΔΠ 028 alm ; BSFaLZ 1 13 33 124 al Clm Or Ath Eus ως ; 16 346 1241 vg ως και ' ο εν τοις ουρανοις c. ϛKπEcKMΔΠ 028 alm b c d g1 h k syrcp al Clm Lcf; D* ο εν ουρανοις ; BSDcEFaLUWZΛΣ 1 7 157 273 348 372 399 Θhy alm vlt5 vg syrh arm aeth al Or Ath Bas Chr Cyp ο ουρανιος.

*6* 1 προσεχετε c. ϛKπBDEKMUWΔΠ 028 1689 alm f go syrcph arm grg Chr Hil etc; SLZ 2215 al g1 boh aeth add δε | ελεημοσυνην c. ϛKπEKLMUZΔΠ 028 alm f k syrh go arm al Chr ; BS*D 1 209 al vltm vg syrs Orint etc δικαιοσυνην ; Sc syrc δοσιν :: προσεχετε usque ποιειν : syrs και μη ποιειτε την δικαιοσυνην υμων | αυτοις : 945 υπ' αυτων | τω πατρι, τω : Λ* 1606 του πατρος, του | τοις c. ϛKπBScEKLMUΔΠ 028 alm ; S*D 1 33 Chr om || 2 ουν : 1424 om | ταις2 : Δ om | υπο : 1354 παρα | αμην : S* αμην αμην; 346 αμην γαρ | υμιν : 157 945 1689 Θhy add οτι || 3 ελεημοσύνην : L prm την | γνωτω : 990 1223 1606 επιγνωτω || 4 η σου η ελεημοσυνη c. ϛKπBScEKLMUΔΠ 028 etc: S* 33 η σου ελε. η ; D ltt η ελε. σου η; Δ η σου ελεημ. | αυτος c. ϛDEMW(X)ΔΠ 028 21 517 700 892 alm h q syrp ; KπBSKLUZ Θhy alm *442* vltm vg syrsc boh arm aeth al Or Const Chr Cyp Aug al om | εν τω φανερω c. ϛKπEKLMWXΔΘΠ 028 21 700 788 alm vltm syrphi arm grg Const Chr' al; BSDZ alp Augedd ff1 k vg fr sax syrc Chr'
39



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

5 Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν
ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προ-
σεύχεσθαι ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν ὅτι ἀ-
πέχουσι τὸν μισθὸν αὐτῶν. 6 Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ
ταμιεῖόν σου καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ πατρί
σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀ-
ποδώσει σοι ἐν τῷ φανερῷ. 46ε 7 Προσευχόμενοι δὲ μὴ βαττολογή-
σητε ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰ-
σακουσθήσονται· 8 μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ πατὴρ ὑ-
μῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. 9 οὕτως οὖν προ-
σεύχεσθε ὑμεῖς·

Πάτερ ἡμῶν
ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω
τὸ ὄνομά σου,
10 ἐλθέτω
ἡ βασιλεία σου,
γενηθήτω
τὸ θέλημά σου

---

5 : 23,5-6. 6 : Βασιλ Δ 4,33 Ἠσ 26,20. 7 : Ἠσ 1,15. 8 : 6,33. 9: Λκ 11,2-4 Ἰω 17,6. 10: 7,21 Λκ 22,42.

Cyp Hier Aug al om || 5 : syrs om v. | προσευχῃ ουκ εσῃ c. ϛKπDEKLM UWXΔ(non δ)Π 028 33 1689 alm q syrsph t arm grg al; S* προσευχησθε ; Sc προσευχῃ ουκ. εσεσθε; BScZ 1 22 118 vltm vg go syrhm sah boh arm aeth Or Chr Aug al προσευχησθε ουκ εσεσθε | ωσπερ c. ϛKπEKLMUΔΠ 028 alfomn Or Chr; BSDZ 33 ως | φιλουσι : D vlt syrcp add στηναι | των πλατειων : Θhy om | εστωτες : K syrcp arm om | προσευχεσθαι : D 13 713 h και προσευχομενοι | αν c. ϛKπEMUΔΠc 028 alm; BSDKLZΠ* 773 2215 Θhy alm Or Chr om | αμην : 245 add γαρ | οτι c. ϛKπEKLMUΔΠ 028 alm f Or Bas; BSDZ alp lt (—f) arm aeth Or Bas Chr Aug al om || 6 εισελθε: Δ εισελθων | ταμιειον c. ϛKπKMUXZΔΠ alm; BEL al *437* ταμειον; SD *425* ταμιον | σου : Σ syrsc om | θυραν : syrc add εν προσωπῳ | σου2 : lt syrsc om | τῳ2 : D alp om | βλεπων : 71 2215 Or add σε | εν τῳ φανερῳ c. ϛKπEK LMUWXΔΘΠ 028 21 33 700 1689 alm vltm syrph go arm grg ; BSDZ alp ff1 g2 k vg fr sax syrci* boh Or Eus Hil Ambr al om || 7 βαττολογησητε c. ϛKπKLMUZΔΠ alm (773 βατγολ., BS βατταλ., D* βλαττολ., Dc βλατταλ.); 700 1604 βαττολογειτε | εθνικοι : B 1424 Tat syrc υποκριται || 8 ο πατηρ : BS* sah prm ο θεος | υμων : 1 22 118 209 etc ημων | αιτησαι αυτον: D h ανοιξαι το στομα || 9 ουν : a syrc δε || 10 ελθετω c. ϛKπBE*KLMUZΔΠ 028

40



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς ἐν οὐρανῷ
    καὶ ἐπὶ τῆς γῆς·
11 τὸν ἄρτον ἡμῶν
    τὸν ἐπιούσιον
δὸς ἡμῖν
    σήμερον·
12 καὶ ἄφες ἡμῖν
    τὰ ὀφειλήματα ἡμῶν
ὡς καὶ ἡμεῖς ἀφίεμεν
    τοῖς ὀφειλέταις ἡμῶν·
13 καὶ μὴ εἰσενέγκῃς
    ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς
    ἀπὸ τοῦ πονηροῦ·
ὅτι σοῦ ἐστιν
    ἡ βασιλεία
καὶ ἡ δύναμις καὶ ἡ δόξα
    εἰς τοὺς αἰῶνας. ἀμήν.

44ς 14 Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα ιζ'
αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· 15 ἐὰν δὲ μὴ ἀ-

---

**ιζ'**. *Τῇ Κυριακῇ τῆς τυροφάγου : Μτ 6,14-21.*

12: 6,14-15. 18,21-35. 13: (Πρλπμ 29,11-13) Ἰω 17,11.15. 15 : Μρκ 11,25-26 ΣΣειρ 28,1.

alfomn; SD$E^c$GΔΣ 1689 ελθατω | ως : D* a b c k Tert om | της c. ςKπDE GKLMUΔΠ 028 alm Or Const Eus; BSZΔ 1 22 406 Θhy *425* (Clm) Or om || 12 ως : syrc ινα | αφιεμεν c. ςKπ$S^c$GKMUΠ* 028 alm ltt syrcp go arm aeth Or Const Chr Cyp al; BS*Z 1 $124^m$ 660 alp harl* for fu syrh Or Nyss Bas αφηκαμεν; DELΔ$\Pi^c$ al αφιομεν (L-ω-) || 13 οτι σου εστιν usque αμην c.ςKπEGKLMUVWΔΘΠ 028 33 565 700 1689 alm f $g^1$ (om αμην) k l q go syrsc(om και η δυναμις)phi arm grg sl sah(tantum virtus) Const Didch (om η βασιλεια) Chr al; BSDZ alp (alm in mg vel rubro scripta habent) scholia cddm a b c $ff^1$ $g^2$ vg (ita am fu for tol emm gat mm etc ; vgedd add amen, item sax) sax fr boh arbb pers' Or Nyss Caes Cyrhi Max Cyp(add amen) Tert etc om || 14 γαρ: D*LΛ 399 482 713 788 grg om | αυτων : D om | υμων : 245 251 Θhy om | ουρανιος : L 826 1093 1689 al vg syri sah' boh add τα παραπτωματα υμων || 15 τα παραπτωματα αυτων c. ςKπ BEGLMUVWΔΘΠ 33 565 1689 alm vltp go syrch sah boh arm grg al; SD
41



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀ-
φήσει τὰ παραπτώματα ὑμῶν.
45ι [16] Ὅταν δὲ νηστεύητε μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυ-
θρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως φανῶσι τοῖς ἀν-
θρώποις νηστεύοντες· ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.
[17] Σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν
σου νίψαι, [18] ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων ἀλλὰ τῷ
πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυ-
πτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ.
[19] Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ
βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι.
46ε [20] θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔ-
τε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτου-
σιν. [21] ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία
ὑμῶν.
47ε [22] Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν οὖν ιη'

---

ιη'. *Κυριακῇ τρίτῃ Ματθαίου : Μτ 6,22-33.*

16: Ἠσ 58,5 9. 19 : Λκ 1',16-21 Ἰακ 5,2. 20 : 19,21 Λκ 12,33-34 Κολ 3.1-2 Τιμ Α 6,9. 22: Λκ 11,34-36.

1 118 209 al a c ff$^1$ g$^1$ h k l vg sax fr syrp Aug al om | υμων$^1$ (S υμιν) : 267 485 660 1012 1391 Θhy add ο επουρανιος (Θhy ουρανιος) | αφησει: D 21 399 713 1241 1293 1606 vlt syrcpi sah boh arm grg' add υμιν || [16] οτάν : S* prm και | ωσπερ c. ϛKπEGKLMUVΓΔΠ 028 alm; BSDΔ 1 alp ως | οι : S* 1279 om | σκυθρωποι : syrc boh fay om | γαρ : syrc om | τα προσωπα : S* k g το προσωπον | αυτων$^1$: BΩ 485 1093 εαυτων | οπως: boh fay ινα; Δ οπως αν | αμην: S* add γαρ | οτι c. ϛKπEGKLMUVΓΔΠ 028 alm c ff$^1$ g vg; BS D Θhy alp a b f h k m q arm aeth Aug al om || [17] αλειψαι :· D αλιψον | κεφαλην: 157 add ελαιω | σου$^2$ : 118 k om || [18] οπως : D boh fay om | μη : *442* ante νηστευων | τοις ανθρωποις: B k post νηστευων | κρυπτω$^{1\ 2}$ c. ϛKπ EGKLMUVΓΔΠ 028 alm; BSD 1 22 372 660 872 al κρυφαιω | τω$^1$: D om | σοι : 346 om | εν τω φανερω c. ϛ[Kπ]EΔ 21 118 157 348 372 543 788 1093 1241 alm vltm arm' aeth grg Ef; BSDGKLMUVΓΠ 028 773 2215 Θhy al-pm *425 437 442* f ff$^1$ l m q vg go syrcphi boh etc om || [19] θησαυριζετε : D θησαυρισετε | υμιν : Δ εν υμιν ; 713 εαυτοις | σφανιζει : D* Or αφανιζουσιν | κλέπται : Iust Tat Clm Bas Ep λησται || [20] θησαυριζετε δε υμιν : Clm κτησασθε | ουρανω : Or ουρανοις | οπου$^2$ : syrc om | ουδε : S vltm syrc etc και || [21] υμων$^{1\ 2}$ c. ϛKπEGKLMUVΓΔΠ 028 alm go syrcph$^t$ al; BS 1 28 372 alp ltt (−f) fr sax syrh$^m$ sah boh aeth Tert Bas Mac al σου | και : B om || [22] οφθαλμος$^1$ c. ϛKπEGKLMUVΓΔΠ 028 alfomn f am fu for go syrcph

42



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· [23] ἐὰν
δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται·
εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστί, τὸ σκότος πόσον !
48ε [24] Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μι-
σήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου κα-
ταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. 49ε [25] Διὰ
τοῦτο λέγω ὑμῖν, Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε καὶ τί πί-
ητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς
τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; [26] ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ
οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀπο-
θήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον
διαφέρετε αὐτῶν ; [27] τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι
ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα ;
[28] Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε ; καταμάθετε τὰ κρίνα τοῦ
ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει· [29] λέγω δὲ ὑμῖν ὅτι οὐδὲ
Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. [30] εἰ δὲ

---

23 : 20,15. 24 : Λκ 16,9.13. 25-33 : Λκ 12, 22-31. 25 : Φιλπ 4,6 Πέ Α 5,7 Τιμ Α 6,6 Ἑβρ 13,5. 26 : 10,29-31. 29 : Βασιλ Γ 10.

sah boh arm Clm Eus; B 372 Tat vltm vg' Or Hil al add σου | ουν c ς KπBEGKLMUVΓΔΠ alm f g$^{1}$ h k (b enim) syrph Chr Aug; S* alp a ff$^{1}$ q vg syrc Hil Ambr om | η h.l. c.ςKπΞGKLMUVΓΔΠ 028 alm vltm (vg' ante απλους) Chr Aug etc; BS 471 f ff$^{1}$ am fu for al post εαν || [23] η : S* 33 post δε || [24] ουδεις : 33 sah add γαρ ; LΔΦ 21 245 399 1241 add οικετης | ἢ: SLΣ 543 1675 ει | ενος : 16 1093 Θhy prm του | ανθεξεται : ltt syrci Aug ανεξεται, Tat syrp arm honorabit | θεῳ : k κυριῳ | μαμωνᾳ c. Kπ uncomn et minpm a b k am fu boh arm; ς alp vlt6 vg sah go μαμμωνᾳ || [25] μεριμνατε : 1424 Chr μεριμνησητε | και τι πιητε c. ςKπEGKLMUVΓΔΠ 028 alm go syrph al; BWΦ 27 33 118 1093 1689 al *437 442* Hiercdd c f g$^{1}$ h m q gat lux(sah) boh arm grg (Or) Mac Max η τι πιητε ; SΣ 1 4 22 174 372 660 892 al Hiercdd (quos sequitur) a b ff$^{1}$ k l vg sax fr syrci pers' arb (Clm) Or Ath Bas (sed 2,269 add και τι πιητε) Chr Hil al om | υμων$^{2}$ : S* b om | ενδυσησθε : 773 2215 Θhy ενδυσεσθε | πλειον : 1417 *442* πλειων | τροφης : Θhy τρυφης || [26] εις (S$^{c}$L 16 346 482 2215 Tat Ath add τας) αποθηκας: syrc om | υμων : L 245 273 544 1170 1355 1555 ημων | αυτων : E 726 1207 1226 τουτων || [27] εξ υμων : Δ υμων; a om | μεριμνων (Θhy post δυναται): 1293 a b h k syrc Hil Chr om || [28] πως usque νηθει c. ςKπEKLMUVΓΔΠ 028 alm Bas; BSΘ 1 33 273 660 al Ath Chr$^{com}$ πῶς αυξανουσιν ου κοπιωσιν (B 33 -ουσιν) ουδε νηθουσιν ; Θhy om πως αυξανει | περιεβαλετο : L περιβέβληται || [30] δε : k ουν ; b c g γαρ; h om | ουτως : syrc om | ου πολλῳ : Δ Tat

43



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλό-
μενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπι-
στοι; [31] Μὴ οὖν μεριμνήσητε, λέγοντες Τί φάγωμεν ἢ τί ιθ´
πίωμεν ἢ τί περιβαλώμεθα· [32] πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ·
οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων·
[33] ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην
αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. [34] Μὴ οὖν μεριμνήση-
τε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡ-
μέρᾳ ἡ κακία αὐτῆς.

50β 7 [1] Μὴ κρίνετε ἵνα μὴ κριθῆτε· [2] ἐν ᾧ γὰρ κρίματι κ´
κρίνετε, κριθήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν.
51ε [3] Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου,

---

**ιθ´**. *Τῇ Δευτέρᾳ τῆς β´ ἑβδομάδος Ματθαίου: Μτ 6,31-34. 7,9-11.*
**κ´**. *Τῷ Σαββάτῳ τῆς β´ ἑβδομάδος Ματθαίου: Μτ 7,1-8.*

32 : 6,8. 33 : Ρωμ 14,17 Βασιλ Γ 3,13-14 Ψλμ 36,4.25. 34 : 6,11 Ἐξδ 16,19.

*7*, 1 : Ρωμ 2,1 Κορ Α 4,5. 2 : Μρκ 4,24.

lttm syrc sah boh arm ποσῳ | υμας : k ημας || [31] ἤ, ἤ : 773 και, ἤ ; Θhy syrc και, και || [32] παντα γαρ ταυτα : SΘΣ 047 157 892 1689 Θhy alm vg syrc arm grg ταυτα γαρ παντα | τα εθνη (1424 οι εθνικοι): 713 Tat syrc Chr add του κοσμου | επιζητει c. ςKπEGKLMUVΔΠ 028 alm Chr ; BS alp Max επιζητουσιν | γαρ² : S Tat b c k syrp δε | ο πατηρ : S* prm ο θεος | υμων : 273 1093 1606 ημων; L 346 om | ο ουρανιος : S 28 ltt (—f h) syrc grg' boh Clm om | απαντων : syrc om || [33] πρωτον : b Chr om | την βασιλειαν του θεου c. ςKπEGKLMUVΔΠ 028 alm vltm vg syrcph al Clm Macmo Chr Cyp al (et. των ουρανῶν vel αυτου legitur) ; S g¹ k m am sah Tert' Eus psAth την βασιλειαν; B την δικαιοσυνην | και την δικαιοσυνην αυτου c. ςKπSEGKLM etc : B και την βασιλειαν αυτου ; 119 245 Iust Clm om :: Huc cf Or 1,197 (item 1,219. 2,260. 3,762 et alibi): αἰτεῖτε τὰ μεγάλα καὶ τὰ μικρὰ προστεθήσεται ὑμῖν· καὶ αἰτεῖτε τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια προστεθήσεται. cf et. Clm 416.579. || [34] εις την αυριον : *437* τι φαγωμεν η τι πιωμεν | τα c. ςKπEKMUΔΠ 544 945 1417m 1241 alm; Θ 565 το ; BSGLV 028 al (ltt) om | εαυτης c. ςKπSGEKMUVΠ 028 alm etc; B*L αυτης ; Δ περι αυτης; 485 εαυτη | αρκετον : Ω 157 440 565 1093 f h Clm add γαρ.

*7* [1] ινα : 28 998 1093 1555 2215 Θhy και ου | κριθητε : L Tat add μη καταδικαζετε και ου μη καταδικασθητε || [2] εν² : Hipp om | αντιμετρηθησεται c. ςΘΣΛ 22 157 273 372 477 544 659 1194 1689 alm c f ff g h vg' syri ; Kπ BSEGKLMUVXΔΠ 028 773 Θhy alm *425 437 442* *Aeg* a b k am fu for tol syrcph boh Clmro Or μετρηθησεται || [3] την δε usque δοκον : S*ΝΟΣ 235

44



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; [4] ἢ πῶς ἐρεῖς τῷ
ἀδελφῷ σου Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰ-
δοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; [5] ὑποκριτά, ἔκβαλε πρῶτον τὴν
δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος
ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

52ι [6] Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί· μηδὲ βάλητε τοὺς μαργαρίτας
ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς
ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

53ε [7] Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε· κρούε-
τε καὶ ἀνοιγήσεται ὑμῖν· [8] πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν
εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. [9] Ἤ, τίς ἐστιν ἐξ ὑμῶν ἄν-
θρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον μὴ λίθον ἐπιδώσει αὐτῷ;
[10] καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; [11] εἰ οὖν ὑμεῖς,
πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ
μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν
αὐτόν;

---

*Εἰς τὴν παννυχίδα τῆς Πέμπτης τῆς α΄ ἑβδομάδος τῶν νηστειῶν: Μτ 7,7-11.*

6 : 10,11. 7 : Μρκ 11,24 Λκ 11,9-13 Ἱερμ 29,13-14 Ἰω 14,13 15,7.16. 16,23-26. 11 : Ἰακ 1,17.

544 1200 Tat ltt (—f) Chr την δε δοκ. την εν τῳ σῳ οφθ. || [4] ἢ : k om | ερεις: S*Θ 700 ltt (—g) arm λεγεις; Tat syrc δυνασαι λεγειν | τῳ αδελφῳ σου : S Tat add αδελφε | αφες : Tat om | απο c. ϛKπEGKLMUVXΔΠ etc; BS alm εκ (ltt de) || [5] την δοκον h. l. c. ϛKπEGKLMUVXΔΠ 028 alfomn ltt Chr; BSC post σου[1] | εκβαλειν : S εκβαλλειν | εκ του οφθαλμου : Σ το εν τῳ οφθαλμῳ || [6] το αγιον: 118 157 245 773[t] 1689 Or Ath Chr Thdrt τα αγια | βαλητε (*Aeg* -λλ-) : Or Chr ριψητε | εμπροσθεν : *442* huc et 10,32 quater εμπροσθε | καταπατησωσιν, ρηξωσιν c. ϛKπEGKMUVΔΠ 028 alm; BCLWXΘΣ 33 157 213 273 485 1555 1654 1689 alm καταπατησουσιν, ρηξουσιν | εν : 1 33 71 399 660 1606 al Clm Ath Bas ltt om || [7] δοθησεται υμιν : syrc ληψεσθε || [8] ευρισκει : *425* ευρησει | ανοιγησεται (Θ -χθη-) c. ϛKπSCEGKLMUVXΔΠ 028 etc; B syrcph boh ανοιγεται || [9] η τις εστιν c ϛKπB[c]CEGKMVXΔΠ 028 alpm vltm vg Cyp Aug al; B*L 118 213 565 713 998 1241 1424 alm b c g h emm syrcph sah boh η τις; U τις εστιν | ον εαν c ϛKπS[c]EGKLMUVXΔΠ 028 (M 440 al *437* ος εαν, K*LΔ ον αν) alm vlt5 vg Cyp Aug'; BS*CΘ alp a b c g[1] h mm Aug' syrr sah boh arm grg ον | αιτηση c. ϛKπEGKMUVXΠ 028 alm; BSCLΔ al αιτησει | αυτῳ; 372 om || [10] και εαν c. ϛKπEGL(και αν)UVXΔ alm syrph aeth; BSC 1 33 273 348 372 435 alm sah arm η και; KMΠΩ 028 773 2215 alm η και εαν; ltt syrc boh aut si | αιτηση c. ϛKπEG KMUVXΠ 028 alm ; BSCLΔ 33 αιτησει || [11] οντες : NOΣΦ υπαρχοντες | δο-
45



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

54ε 12 Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄν- **κα'**
θρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ
οἱ προφῆται.
55ε 13 Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ
εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν
οἱ εἰσερχόμενοι δι' αὐτῆς· 14 ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁ-
δὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.
56ι 15 Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν οἵτινες ἔρ- **κβ'**
χονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπα-
γες· 16 ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· 57ε μήτι συλ-
λέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν ἢ ἀπὸ τριβόλων σῦκα ; 58ε 17οὕ-
τω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον

---

**κα'**. *Ὀκτ. 13. Κάρπου κλπ. μαρτ.: Μτ 7,12-21.—Εἰς ὁσιομάρτυρας, τὸ αὐτό.*

**κβ'**. *Τῇ Τρίτῃ τῆς β' ἑβδομάδος Ματθαίου: Μτ 7,15-21.*

12 : 22,39-40 Ρωμ 13,8-10. 13 : Λκ 13,24 Ἰω 10,7.9. 14 : 19,24 Πρξ 14,22. 15 : 24,4.5.24 Πρξ 20,29. 16 : Γαλ 5,19-22 Ἰακ 3,12. 17: 12,33.

ματα: L ff r vg om | ο (Δ om) εν τοις ουρανοις: M 245 473 660 k Chr om | αυτον: k add παντα || 12 ουν c. ςKπBS$^c$CEGKMUVXΔΠ 028 etc; S*L al Tat syrp arm arb om | αν c. ςKπBEGKLMUVXΔΠ 028 alm; SC al Chr εαν | ανθρωποι: a c g h k add αγαθα | ουτως: 485 *437* ομοιως (post υμεις); L 544 1424 1675 Clm Chr lttp syrc om | ουτος : LXΛ 213 348 372 660 713 954 1689 alm *437 442* syrhm arm grg ουτως || 13 εισελθετε c. ςKπBSCEGKLMUVXΔΠ 028 alm etc (BSCLΔ al *425* -θα-) ; 174 add δε | οτι c. ςKπBSC etc; 118* και τι, a b h l q arm Cyp Lcf al quam | η πυλη c. ςKπBS$^c$CGKLMUVXΔΠ 028 alfomn vlt5 vg go syrcph sah boh arm aeth Chr Orint etc; S* 1355 a b c h k m for Naass Clm Or Hipp Eus Orint Cyp Lcf al om | εισιν: S* sah Clm om | εισερχομενοι: 157 660 εισπορευομενοι ; L 544 al Clm Chr ερχομενοι; 1 πορευομενοι | δι' αυτης : 157 εις αυτην || 14 οτι c. ςB* S*X (ὅτί) 1$^c$ 157 372 1010 alm n vg' sah boh arm' Naass Or ; KπB$^c$S$^c$CEGKLMUVΔΠ 028 773 1417 alpm *425 437 442 Aeg* vltm vg syrcph go arm' aeth Ef Cyp τι :: Legitur et. και; B add δε, item sah' | η πυλη c. ςKπBSC etc (et vlt7 syrcph sah boh arm aeth); 113 182* 482 544 a h k m Naass Clm Or Tert Hipp Eus Cyp psAth etc om | απαγουσα: 700 αποφερουσα | εις: 245 280 προς || 15 δε[1] c. ςKπCEGKLMUVXΔΠ 028 alm f go syrh boh; BS 544 565 1689 alm *425* ltt (–f) syrcp sah arm aeth Iust Ath Chr Lcf Hil psAth etc om || 16 απο[1] : c e k Iust εκ | επιγνωσεσθε : 543 γνωσεσθε | σταφυλην c. ςKπC$^c$EGKLMUVXΔΠ 028 alm arm aeth; BSΛ 1 273 372 892 alp ltt go syrr sah boh Tert Bas Chr σταφυλας; C* σταφυληνας || 17 ου-
46



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καρποὺς πονηροὺς ποιεῖ· [18] οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς
πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. [19] πᾶν
δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.
[20] ἄραγε, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. 59γ [21] Οὐ **κγ'**
πᾶς ὁ λέγων μοι Κύριε Κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐ-
ρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.
60ε [22] Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ Κύριε Κύριε, οὐ τῷ
σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβά-
λομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; [23] καὶ τότε
ὁμολογήσω αὐτοῖς ὅτι Οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ
οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

61ε [24] Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους **κδ'**
καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ ὅστις ᾠκοδόμησε

---

**κγ'**. *Τῇ Τετάρτῃ τῆς β' ἑβδομάδος Ματθαίου: Μτ 7,21-23.*
**κδ'**. *Τῷ Σαββάτῳ τῆς γ' ἑβδομάδος Ματθαίου: Μτ 7,24-8,4.*

19: 3,10 Ἰω 15,2.6. 21: 21,29 Ρωμ 2,13 Ἰακ 1,22.25. 2,14 Κορ Α 12,3. 22: Ἱερμ 14,14. 27,15 Λκ 13,25-27 Κορ Α 13,1-2. 23: 13,41. 25,41 Τιμ Β 2,19 Ψλμ 6,9. 24: 7,21.

τω: syrc om | ποιει[1] : 280 εκφυει | καρπους πονηρους : sah καρπον πονηρον || [18] ποιειν [1 2] c. ϛKπCEGKLMUVXZΔΠ 028 etc ; S ποιειν, ενεγκειν ; B ε-νεγκειν, ποιειν | ουδε : L add παλιν | καρπους καλους : 16 124 sah καρπον καλον | σαπρον: 482 syrs Or πονηρον || [19] παν c. ϛKπBSC*EGKMUVXΔΠ 028 etc; CcLZΛΦ 157 826 998 1689 alm b c g[1] h syrc sah add ουν | εκκοπιεται: 1555 τεμνεται || [20] αραγε: 983 1689 ff om | απο c. ϛKπBSLXZΔΠ uncm etc (f: a); C vltm vg Lcf (ex) k Hil (de) εκ || [21] ποιων : 788 ποιησας | το θελημα: S* τα θεληματα | εν ουρανοις c. ϛKπEGKLMUVXΔΠ 028 alm Or Cyr Bas Chr; BSC*Z 1 33 al *425* Iust Naass Cyr εν τοις ουρανοις :: his CcΘ(W Φ) 33 713 1241 al lttm syrc add ουτος (Φ αυτος) εισελευσεται εις την βασιλειαν των ουρανων || [22] πολλοι : syrc sah boh Chr add γαρ | μοι : Z om | κυριε[2]: 700 1093 1675 om | ονοματι[1] : syrc Iust Or Ep Hier Aug add εφαγομεν και επιομεν και τω σω ονοματι | προεφητεύσαμεν: B*SCLZ alp επροφητευσαμεν | δαιμονια : S* add πολλα | εξεβαλομεν : S*L εξεβαλλομεν | και[2] : sah ου | πολλας: 1279 1579 post εποιησαμεν || [23] ομολογησω: Tat a c g h k syrc arm grg Iust ερω | οτι: k om | ουδεποτε: k ουδεπω | αποχωρειτε: Θ k αναχωρειτε | εμου: LUΘ 017 476 1424 1689 al *437* arm grg add παντες | εργαζομενοι την ανομιαν: 1606 Tat a c h q Iust εργαται της ανομιας || [24] ουν: KX 245 517 713 Tat a k syrc arm grg om | τουτους: B*Σ* 544 1424 Tat a g[1] k m q syri Cyp al om | ομοιωσω αυτον c. ϛKπCEGKLMUVXΔΠ 028 alm f h k m q syrcpht boh go Cyp Lcf Hil al; BSZΛΦ 1 33 124 660 892 565 alm *437* ff[1]
47



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· 25 καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον
οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ,
καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. 26 Καὶ πᾶς ὁ ἀ-
κούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται
ἀνδρὶ μωρῷ ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον· 27 καὶ
κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ
προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς με-
γάλη.

62β 28 Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τού-
τους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ· 29 ἦν γὰρ διδά-
σκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς.

63β *8* 1 Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν ς'
αὐτῷ ὄχλοι πολλοί. 2 καὶ ἰδού, λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέ-

---

**ς'. Περὶ τοῦ λεπροῦ.**

27 : Ἰεζκ 13,10-11. 28 : 11,1. 13,53. 19,1. 26,1 Μρκ 1,22 Λκ 4,32. 29 : Ἰω 7,46.

l vg syrphmi sah arm aeth Or Bas Cyr Chr Ambr al ομοιωθησεται ; a b c g ομοιος εστιν | την οικιαν h. l. c. ςΚπEGKLMUVXΔΠ 028 alm Bas al ; BSCZ 1 33 773 Or post αυτου || 25 ηλθον : B ηλθαν | προσεπεσον (et. 773m); BSCEXZΔ alm *425 437 442* syrhm Cyr Chr Dam προσεπεσαν; 773t 1424 a b g h προσεκοψαν; ΘΣ προσερρηξαν || 26 τουτους: 700 f k syri om | την οικιαν h. l. c. ςΚπCLXΓΔΠ etc Or Bas al; BSZ 1 773 post αυτου | ομοιωθησεται : a b c h q ομοιος εστιν; k ομοιωσω αυτον | αμμον : *437* ψαμμον || 27 ηλθον: S ηλθαν | και επνευσαν οι ανεμοι : S* om | προσεκοψαν : C*MΘ 1 348 660 1012 alm c k Bas Chr προσερρηξαν | τη οικια εκεινη: 472 την οικιαν εκεινην ' μεγαλη : ΘΣ 13 33 399 713 983 alm syri arm grg add σφοδρα || 28 συνετελεσεν c. ςΚπEKLMUVXΓΔΘΠ 028 7 28 826·1689 al ; BSC(Z)Γ alm *425* Or Chr ετελεσεν (item 773, postea superposito συν-) | τους: M 399 660 713 arm grg prm παντας || 29 γαρ: q δε; syrc om | οι γραμματεις c. ςΚπ ELMUVXΓΠc 028 alm go; BSCcKΔΠ alp f syri sah boh arm' aeth Eus Aug add αυτων; C*W 21 33 399 718 a c ff1 g h l q (k) vg syrcph grg' al Eus add αυτων και οι φαρισαιοι.

*8* 1 καταβαντι δε αυτω c. ςΚπS*EKLMUVXΓΔΠ(V*Π om αυτω) 028 565 1424 alm etc; BScC alp καταβαντος (1 al καταβαινοντος) δε αυτου; Z και καταβαντος αυτου; a b c (f) g1 q Hil et descendente eo | ηκολουθησαν et οχλοι πολλοι: 33 ηκολουθησεν et οχλος πολυς || 2 λεπρος: syrc ανθρωπος, syrp add τις | ελθων c. ςΚπCKLUVXZΓΛΠΨ 028 047 1 27 28 174 983 1424 alpm; ltt syrcp boh al veniens; BSEMΔ alm syrh go sah arm Cyr (Chr) Dam προσελθων | προσεκυνει : Λ 541 1355 προσεκυνησεν | αυτω : 33 αυτον

48

γων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. 3 καὶ ἐκτείνας τὴν
χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς λέγων· Θέλω, καθαρίσθητι. καὶ εὐθέως
ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. 4 καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅρα, μη-
δενὶ εἴπῃς· ἀλλὰ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ
δῶρον ὃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς.
64γ 5 Εἰσελθόντι δὲ τῷ Ἰησοῦ εἰς Καπερναούμ, **κε΄ Ζ΄**
προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν 6 καὶ λέγων· Κύ-
ριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς δεινῶς βασανιζόμε-
νος. 7 καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. 8 καὶ
ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ
τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς

---

**Ζ΄. Περὶ τοῦ ἑκατοντάρχου.**

**κε΄.** *Κυριακῇ τετάρτῃ Ματθαίου: Μτ 8,5-13.*

*8*, 1-4 : Μρκ 1,40-44 Λκ 5,12-14. 4 : 9,30 Μρκ 7,36 Λκ 17,14 Λευ 13, 49. 14,2-32. 5-13 : Λκ 7,1-10 Ἰω 4,47.

|| 3 χειρα : S* 124 *437* syrscpi sah arm grg Chr add αυτου | ο ιησους c. ςKπ $C^{c}$EKLMUVWXΓΔΘΠ 346 517 1241 alm b h q (a c f vg syrcp ante ηψατο) syrh arm grg Hil; syrs ο κυριος ημων; BSC*(Z) alp *437* $ff^{1}$ k am sah boh aeth go om | ευθεως : S* om εκαθαρισθη : B*ELXΠ* al *425* εκαθερισθη | αυτου : 028 659 1279 prm απ' || 4 και : syrs sah om | λεγει : S* k ειπεν | ορα : 1 om | μηδενι : Γ 251 alp add μηδεν | αλλα : ςLMUΓ 1417 alpm *425 437* αλλ' | υπαγε : h k add και | τῳ ιερει : h syrscpi Ef τοις ιερευσι | προσενεγκε (659 1391 1424 1675 alm – γκαι) : BC προσενεγκον δωρον : 485 713 990 c sah add σου | μωσης : BS$C^{c}$KZΠ etc μωϋσης || 5 εισελθοντι δε τῳ ιησου c. ς$C^{c}$ alpm; KπLWΓΔΘΠ etc 28 346 773 828 1417 alpm Chr εισελθοντι δε αυτῳ; VX al εισελθοντι αυτῳ ; BSC*Z al Or εισελθοντος δε αυτου ; vltm vg etc cum autem (post haec autem cum) introisset; syrs μετα δε ταυτα tantum; syrc μετα δε ταυτα εισελθοντι αυτῳ | εις καπερναουμ c. ςKπCEKLMUVXΓΔΠ 028 2215 al; BS etc εις καφαρναουμ ; syrs om | εκατονταρχος : S*W 71 892* 1424 εκατονταρχης; $syrsh^{m}$ Eus Hil psClm χιλιαρχος | αυτον : syrc add δεηθεις || 6 κυριε : S* k syrsc om | οικιᾳ : k add μου | παραλυτικος : 1604 post βασανιζομενος; 245 1555 om || 7 και c. ςKπSCLXΓΔΠ unc6 etc; B 700 47 Tat a b g h k q am fu syrscp sah arm grg om | ο ιησους c. ςKπCLXΓΔΠ unc6 etc; BS 892 1200 1375 k syrs boh om | εγω : S* prm ακολουθει μοι || 8 και αποκριθεις : BS*33 sah αποκριθεις δε | εκατονταρχος : cf v. 5. | εφη : S*C 33 ειπεν | ικανος : 543 syrr αξιος; 13 826 om | $μου^{1}$ : U post υπο, Θ post στεγην | μονον : syrs arm Ef Or om | λογον c. ςΓ alpm $g^{1}$ $ff^{1}$ aeth Bas; KπBSCLXΔΠ unc7 1417 alm *425 437 442* Or λογῳ,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μου· 9 καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν
στρατιώτας· καὶ λέγω τούτῳ Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ
Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου Ποίησον τοῦτο, καὶ ποιεῖ.
10 ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· Ἀμὴν
λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον· 65ε 11 λέγω
δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλι-
θήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν, 12 οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ
ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.
66ε 13 καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· Ὕπαγε, καὶ ὡς ἐπίστευ-
σας γενηθήτω σοι. καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

---

10 : 15,28. 11 : Λκ 13,28-29 Ἠσ 49,12. 59,19 Μαλαχ 1,11 Ψαλμ 106,3. 12 : 22,13. 24,51. 25,30. 13 : 9,29. 15,28.

vltm vg syrcph go sah boh al verbo | ο παις μου : k sah Or om || 9 υπο εξουσίαν c. ϛKπCEKLMUVXΓΔΠ 028 alm f ff1 am fu for syrph arm aeth go (Ir) Chr; syrs εξουσιαν εχων; BS 4 273 372 vltm vg' Chr Hil al add τασσομενος | υπ' εμαυτον : Tat f syri Ir υπο την εμαυτου εξουσιαν στρατιώτας : Ir add και δουλους | πορευθητι : 659 713 πορευου | αλλῳ : X 1216 *437* prm τῳ; syrs add λεγω | μου : a b c etc syrsc add λεγω || 10 ιησους: 543 θεος | τοις : 251 add μαθηταις αυτου τοις ακολουθουσιν c. ϛKπBS etc; C alp Tat Chr ltt ( gat) syrcph sah boh aeth add αυτῳ | αμην (990 al αμην αμην) λεγω υμιν : k om | ουδε εν usque ευρον (GV ηυρον) c ϛKπSCEGKL MUVXΓΔΠ 028 alm vltm vg syrsph arm al Chr Dam; BW 370 892 al Tat a k q gat sah boh aeth Aug Ef Oi al παρ' ουδενι τοσαυτην πιστιν εν τῳ ισραηλ (alp om εν τῳ ισ.) ευρον || 11 ισαακ : S a b h k ισακ || 12 βασιλειας: Δ a b c g etc add (τ)αυτης | εκβληθησονται c. ϛKπBScC uncrell alomn f ff1 g2 vg sah boh go al Cyp' Chr; S* k (a b c g h) syrscpi Heracl Ir Cyp' Aug εξελευσονται || 13 και: syrsc τοτε | ο ιησους : 348 om | εκατονταρχῳ: BS*CEGKLMVXΓΠ 028 773m alpm *425 437 442* εκατονταρχη | και2 c. ϛKπ CEGKLMUVXΓΔΠ 028 alpm c f ff1 vg syrh arm go aeth Or(bis) Bas Chr'; BSWΦ 251 372 544 1012 alp a b g h k q syrscp sah boh Eus Chr' Ir om | αυτου c. ϛKπCEGKLXΓΔΠ unc7 alm syrscph sah go arm aeth Chr; BS alp ltt syri boh Bas om | εν τη ωρᾳ (W 700 1424 arm grg ημερᾳ) εκεινῃ c. ϛKπEGKLMUVXΓΠ 028 alm f ff1 vg syrcph boh go arm aeth; CΔ alp *437* vltm sah Bas etc απο της ωρας εκεινης; BS k syrs om :: S*CE MUNXΘ 1 33 124 348 399 713 773 998 1689 alm Tat g syrhi add και υποστρεψας ο εκατονταρχος εις τον οικον αυτου (εν αυτη τη ωρᾳ) ευρεν τον παιδα
59



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

67β [14] Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, κϛ′ Η′
εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν· [15] καὶ ἥψατο
τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός, καὶ ἠγέρθη, καὶ διη-
κόνει αὐτοῖς.
[16] Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομέ- Θ′
νους πολλούς· καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κα-
κῶς ἔχοντας ἐθεράπευσεν, [17] ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου
τοῦ προφήτου λέγοντος Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ
τὰς νόσους ἐβάστασεν.
[18] Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτόν, ἐκέλευσεν ἀ-
πελθεῖν εἰς τὸ πέραν. 68ε [19] Καὶ προσελθὼν εἷς γραμματεὺς Ι′
εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. [20] καὶ
λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ
τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ
τὴν κεφαλὴν κλίνῃ.

---

**Η′. Περὶ τῆς πενθερᾶς Πέτρου.**
**Θ′. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.**
**Ι′. Περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.**

κϛ′. *Τῷ Σαββάτῳ τῆς δ′ ἑβδομάδος Ματθαίου: Μτ 8,14-23.*

14-16 : Μρκ 1,29-31 Λκ 4,38-41 Κορ Α 9,5. 17 : Ἡσ 53,4. 18 : Μρκ 4,35 Λκ 8,22. 19-22 : Λκ 9,57-60. 20 : Κορ Β 8,9.

υγιαινοντα || [14] ελθων : 660 892 1365 1375 1391 εισελθων | ο ιησους: 485 post πετρου; 16 660 om | βεβλημενην : Φ 713 add επι κλινης | αφηκεν : 157 syrs prm παραχρημα; 13 69 alm prm ευθεως, quod Tat g h post ηγερθη pon || [15] αυτοις c. ϛS$^{c}$M*LΔ 1 7 33 273 348 372 1424 alm vltm vg syrsc boh aeth; KπBS*CEFGKM$^{c}$UVXΓΠ 028 773 alpm *437 442 Aeg* k g syrph go arm al Or αυτω || [16] πολλους : 1093 add και εθεραπευσεν αυτους | λογω : 472 477 1093 syrsc sah prm τω; syrsc add αυτου; sah add του στοματος αυτου | παντας : syrsc om | εθεραπευσεν : Θ ante παντας || [17] δια : 517 Chr υπο | ησαϊου : syrc prm του στοματος | του προφητου : syrs om | λεγοντος : a b c g etc add οτι | ελαβε : K 16 480 2215 ανελαβε; 659 ηρε | νοσους : vlt syrscp sah boh arm grg add ημων || [18] πολλους οχλους c. ϛKπS$^{c}$CEGKLMUVXΓΔ Π 028 alm vltm (108 vlt7 οχλ. πολλους) vg etc; S* boh οχλους; B οχλον; W (B) 348 544 1424 1689 alm c g syrsc (sah) grg πολυν οχλον | εκελευσεν απελθειν : 1093 απηλθεν | το : 33 την || [19] προσελθων : g h add αυτω | εις : a b c g h etc τις | διδασκαλε : 047 add αγαθε | εαν : Θ 945 1424 αν || [20] και[1] : 71 a b c g etc syrr om | αυτω : syrs om | κατασκηνωσεις : a b c (ff g) h q add ubi requiescant | κλινη (GXΩ 028 33 -- νει, 713 —νειν) : ΝΓ 118 157
51



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[21] Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν
μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου. [22] ὁ δὲ Ἰησοῦς εἶ-
πεν αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυ-
τῶν νεκρούς.

69β [23] Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν **κζ'**
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. [24] Καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο **ΙΑ'**
ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων, αὐ-
τὸς δὲ ἐκάθευδε. [25] καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν
αὐτὸν λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. [26] καὶ λέγει αὐ-
τοῖς· Τί δειλοί ἐστε, ὀλιγόπιστοι ; τότε ἐγερθεὶς ἐπετίμησε τοῖς ἀνέ-
μοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. [27] οἱ δὲ ἄνθρω-
ποι ἐθαύμασαν λέγοντες· Ποταπός ἐστιν οὗτος ; ὅτι καὶ οἱ ἄνεμοι
καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ.

---

**ΙΑ'. Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.**

**κζ'**. *Τῇ Πέμπτῃ τῆς β' ἑβδομάδος Ματθαίου : Μτ 8,23-27. — Ὀκτ. 26. — Τοῦ σεισμοῦ, τὸ αὐτό. — Εἰς σεισμόν, τὸ αὐτό.*

21: Βασιλ Γ 19,20. 22: Ἰω 1,43. 5,25 Ρωμ 6,13. 23-27: Μρκ 4.36 41 Λκ 8,23-25 Ψλμ 4,8. 26: 14,31. 16,8.

1093 1424 1689 al κλιναι || [21] των μαθητων . b c h q μαθητης | αυτου c. ςKπC EGKLMUVXΓΔΠ 028 alm ff$^1$ g$^1$ k m vg syrscp boh go; BS 33 alp vlt5 sah om | αυτω : 399 1579 k om | απελθειν και : 713 1402 απελθειν; 157 om || [22] ιησους c. ςKπBCEGKLMUVXΓΔΠ 028 etc; S 33 b c k q syrs om (k dicit illi tantum) | ειπεν c. ςKπEGKLMUVXΓΔ 028 alm g$^1$ m; BSC 1 33 al k λεγει, a b c ff$^1$ q vg ait || [23] εμβαντι αυτω : Σ εμβαινοντος αυτου | το c. ς[Kπ]SEGKLMUVXΓΔΠ 028 alm Chr; BS$^c$C 047 1 124 565 1375 alm *Aeg* (Or) om | αυτω$^2$ : 565 892 om || [24] ιδου : syrs om | μεγας: Γ 485 post εγενετο ; 700 om | το πλοιον : syrs om | κυματων : Λ 273 1093 al g$^2$ syri add ην γαρ ο ανεμος εναντιος αυτοις || [25] οι μαθηται αυτου c. ςKπ(C*)X 1 alm vltm vg syrsph go aeth; C$^c$EFKLMUVΓΔΠ 028 1417 alpm *437 Aeg* h arm pers' Eus οι μαθηται; BS 33 892 a c ff$^1$ k l am fu for harl emm sax sah boh Hier om | ημας c. ςKπEKLMUVXΓΔΠ 028 alm lit Eus Chr; BSC alp om || [26] και$^1$ : 291 983 a b c sah om | αυτοις : b c h ff add ο ιησους | ολιγοπι-στοι : Tat syrc om | τοις ανεμοις : S* 1 124 660 al vltm syrsp sah Ef τω ανεμω || [27] και$^1$ c. ςKπBSEKLMUVXΔΠ 028 alm d f k am for go syrh arm al; C 713 vltm vg syrsp sah boh aeth om | ουτος : 655 Chr prm, 1354 add ο ανθρωπος | και$^1$ : C 713 a b c etc syrr sah om | υπακουουσιν h. l. c. ςKπ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

28 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν **κη′ ΙΒ′**
Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι ἐκ τῶν μνημείων
ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁ-
δοῦ ἐκείνης. 29 καὶ ἰδού, ἔκραξαν λέγοντες· Τί ἡμῖν καὶ σοί, Ἰησοῦ
υἱὲ τοῦ Θεοῦ ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς ; 30 ἦν δὲ μα-
κρὰν ἀπ᾽ αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη· 31 οἱ δὲ δαίμονες
παρεκάλουν αὐτὸν λέγοντες· Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελ-
θεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. 32 καὶ εἶπεν αὐτοῖς· Ὑπάγετε. οἱ
δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων· καὶ ἰδού, ὥρμησε
πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ

---

**ΙΒ′. Περὶ τῶν δαιμονιζομένων.**

**κη′**. *Κυριακῇ πέμπτῃ Ματθαίου: Μτ 8,28-9,1.*

28-34: Μρκ 5,1-17 Λκ 8,26-37. 29: Λκ 4,41 Πέ Β 2,4.

CEKLMUVXΔΠ 028 alm ltt etc; BS 1 33 Eus Chr post αυτῳ || 28 ελθοντι αυτῳ c. ςKπEKLMUVWXΔΠ 028 399 700 1424 alm; BScC alp (ltt ut 8,1; item v. 23) ελθοντος αυτου; S* ελθοντων αυτων | εις το περαν : 1417 περαν ; Λ* 565 syrs om | γεργεσηνων c. ςKπScCcEKLUVWXΠ 028 28 700 alm boh go arm grg Or Ef; S* γαζαρηνων; BC*ΜΘΛΣ 33 174 399 al15 syrspht perss Ep (Or) γαδαρηνων ; catox των εν γαδαροις ; Δ γαραδηνων; ltt (et. d δ) syrhm sah (Or) Hil al γερασηνων (et. gergusenorum et γεργεσιων) | δυο: a b c g etc add ανθρωποι, syrs add ανδρες | χαλεποι λιαν : syrs ante εκ των μνημ. | μη et τινα : 700 μηδενα | ισχυειν : 945 δυνασθαι | παρελθειν : Ω απελθειν || 29 ιδου : 1424 vlt Tat syrspi grg om | εκραξαν : 1606 ανεκραξαν ; 489 εκραζον | λεγοντες : Λ om | ιησου c. ςKπCcEKMUVWXΔΘΠ 028 22 773m 826 983 1424 alm vltm d vg syrphi sah go arm grg aeth Eus Chr; BS C*L al ff1 k l m am fu for tol harl* boh Or Eus Cyp Vict om | θεου:1424 add του ζωντος | ηλθες : c k prm τι | ωδε : 1093 1604 b g h om | προ καιρου βασανισαι ημας : S* 713* ημας απολεσαι (S* βασανισαι) προ καιρου :: 399 ημας ante ωδε; syrs om προ καιρου || 30 δε : 273 sah om | μακραν : ltt ου μακραν; Tat syr(s)i εκει | πολλων : Θ 565 1093 arm grg om | βοσκομενη : X 213 472 Tat b c g etc boh βοσκομενων || 31 επιτρεψον ημιν απελθειν (Σ εισελθειν) c. ςKπCEKLMUVWXΔΠΣ 028 565 1689 alm f h (iube nos ire) q (permitte nos ire) syrpht go arm grg; BS 1 alp a b c d ff1 g1 k l vg syrshm sah boh arbb aeth Cyr αποστειλον ημας || 32 και1: k ο δε; 954 om | ειπεν : 1424 Tat και επετρεψεν; 517 al και επετρεψεν αυτοις και ειπεν | αυτοις: C b c g h syrp add ο ιησους υπαγετε : 477 1424 Tat om | οι δε : syrp και ευθυς | απηλθον : B -θαν | εις την αγελην των χοιρων c. ςKπCcEKLMUV WXΔΘΠ 028 1689 alm f h syri go arm grg; BSC* alp vltm (et. d) vg syrsp sah boh aeth al εις τους χοιρους | ιδου : 1424 Tat syrr om | πασα :
53



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπέθανον ἐν τοῖς ὕδασιν. 33 οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόν-
τες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων·
34 καὶ ἰδού, πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ, καὶ ἰ-
δόντες αὐτὸν παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.
70α *9* 1 Καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασε, καὶ ἦλθεν **κθ′**
εἰς τὴν ἰδίαν πόλιν. 2 Καὶ ἰδού, προσέφερον αὐτῷ παραλυτι- **ΙΓ′**
κὸν ἐπὶ κλίνης βεβλημένον· καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν,
εἶπε τῷ παραλυτικῷ· Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.
3 καὶ ἰδού, τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφη-
μεῖ. 4 καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν· Ἱνατί ὑμεῖς
ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; 5 τί γάρ ἐστιν εὐκοπώ-
τερον, εἰπεῖν Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν Ἔγειραι καὶ περι-

---

**ΙΓ′. Περὶ τοῦ παραλυτικοῦ.**

**κθ′.** *Κυριακῇ ἕκτῃ Ματθαίου: Μτ 9,1-8.*

*9*, 1-8: Μρκ 2,1-12 Λκ 5,17-26. 1: Λκ 4,13. 3: Μρκ 2,7. 4: 12, 25 Ἰω 2,25.

C* post αγελη | των χοιρων c. ςKπC$^{c}$EKLUVXΠ 028 28 517 700 773$^{m}$ alm boh grg Chr; BSC*MΔ 773$^{t}$ alp ltt (et. d) syrph sah arm go aeth al om | του : N om | θαλασσαν : 1424 λιμνην | και απεθανον usque υδασιν : syrs om || 33 εφυγον : 1396 Tat prm ιδοντες το γεγενημενον | απελθοντες : syrs εισελθοντες | και$^{2}$ : 118 om || 34 εξηλθεν : 047 71 565 1194 1223 1354 1424 –θον | συναντησιν c. ςKπCEKLMUVXΔΠ 028 alm Cyr; BSΘ 1 33 399 alp υπαντησιν | τω ιησου : SC 33 118 157 892 1606 al grg Cyr του ιησου; k αυτω | οπως : B ινα | απο : 16 1279 εκ

*9*, 1 εμβας : C$^{c}$Θ Tat alm add ο ιησους; item C* 399 1010 alm post πλοιον | το c. ςC*EFKMUVΔΠ 028 alm boh Chr; KπBSC$^{c}$LV$^{m}$X alm *425 437* sah go Or om | ιδιαν : F a g ιουδαιαν; δ post πολιν; b om || 2 προσεφερον: C προσφερουσιν | θαρσει (syrs μη φοβου) τεκνον: (Tat) arm om | αφεωνται c. ςKπCEFKLMUVXΔΠ 028 alfomn (*Aeg* -ον-) vltm Or Eus; BS 372 Or αφιενται, D 13 1689 al αφιονται, d f ff$^{1}$ k vg syrph go aeth Irint remittuntur | σοι c. ςKπDEFKLUVXΔ$^{c}$ΘΠ 028 28 1424 alm vltm vg etc; BSCMΔ* al Or σου | σου c. ςKπEFKLMUVXΘΠ 28 al; BSCDΔ al Or om || 3 ειπον : B ειπαν | βλασφημει : a h l Tat add τις δυναται αμαρτιας αφιεναι ειμη μονος ο θεος || 4 και$^{1}$ : Θ 71 1194 a δε (post ιδων) | ιδων c. ςKπSCDE*FKLUVXΔΠ$^{c}$ 028 alm ltt boh etc; BE$^{c}$MΘΛΠ*Σ 1 4 71 280 565 1093 1216 1424 2145 2215 alm fu syrph sah go arm grg ειδως | ειπεν : DNOΣ 489 Tat c h sah add αυτοις | υμεις c. ςKπEFKLMUVXΔΠ 028 alm go syrh arm; BSCDZΨ 1 22 33 209 660 892 al ltt boh om || 5 γαρ: KMUΠ 118 565 945 1010 1606 alm lttm syrs arm grg om | ειπειν$^{1}$ : 124 1170 1606 Tat Tert add τω παραλυτικω;

54



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάτει; [6] ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ
τῆς γῆς ἀφιέναι ἁμαρτίας,—τότε λέγει τῷ παραλυτικῷ· Ἐγερθεὶς ἆ-
ρόν σου τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. [7] καὶ ἐγερθεὶς ἀ-
πῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. [8] ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν καὶ
ἐδόξασαν τὸν Θεὸν τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.
71β [9] Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν εἶδεν ἄνθρω- λ' ΙΔ'
πον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐ-
τῷ· Ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. 72β [10] Καὶ
ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδού, πολλοὶ τελῶναι καὶ
ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐ-
τοῦ. [11] καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· Διατί
μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει ὁ διδάσκαλος ὑ-

---

**ΙΔ'. Περὶ τοῦ Ματθαίου.**

**λ'.** *Τῷ Σαββάτῳ τῆς ε' ἑβδομάδος Ματθαίου: Μτ 9,9-13.—Νο. 16. Ματθαίου ἀποστόλου, τὸ αὐτό*

9-13: Μρκ 2,13-17 Λκ 5,27-32. 11: Λκ 15,2.

1279 om | αφεωνται c. ϛKπCE uncrell alomn (*Aeg* -ον-) a b c g1 h; B Sc d f ff1 g k vg syrsph go aeth αφιενται; S*D αφιονται | σοι αι αμαρτιαι c. ϛUΔΠ 028 alm b d for go; alp vltm vg syrs σοι αι αμαρτιαι σου; KπBSCDEFKLMVX 2215 alpm *437 442* σου αι αμαρτιαι; k peccata tua | ειπειν2: Tert om | εγειραι: KπBSCDEFKLMVXΠ 028 1417 2215 etc *437* εγειρε | και: S* om || 6 ειδητε: CDELX k ιδητε | επι της γης: 983 επι γης; 1 Ir om | εγερθεις c. ϛKπSCEFKLMUVXΔΠ 028 alfom q (surgens tolle) go arm; B b c f ff1 l vg syrph sah boh εγειρε; D vlt5 aeth Hil εγειρε και | υπαγε: S* πορευου || 8 δε: 892 add αυτον | οχλοι: 1 23 ανθρωποι | εθαυμασαν c. ϛKπCEFKLMUVΓΔΠ 028 alm syrh arm; BSDW 1 33 600 892 1424 alm ltt syrspi sah boh εφοβηθησαν; Tat εφοβηθησαν και εθαυμασαν || 9 εκειθεν h. l. c. ϛKπBScCEFKLMUVXΓΔΠ 028 alfomn syrph sah go arm aeth; D 124 ltt boh Eus ante ο ιησους; S*L 71 472 1574 om | ματθαιον: B*SD sah go μαθθαιον | λεγομενον: 1396 καλουμενον; 028 ltt Eus ονοματι | και3: S* om | ηκολουθησεν c. ϛKπBC uncrell alm ltt; SD 1 21 892 1010 1093 al grg ηκολουθει || 10 και εγενετο αυτου ανακειμενου (*442* ante αυτου): S* 892 Tat syrsp(i boh) και ανακειμενων | εν τη οικια: 230 om | και ιδου c. ϛKπBC uncrell alfomn h k q go syrh arm Eus; SD 230 544 892 1579 al a b c f ff1 g1 vg sah boh Hier ιδου; 700 syrp grg om | πολλοι: 157 post τελωναι; 545 1675 om | ελθοντες: S* a syrs sah grg Eus om | συνανεκειντο: D συνεκειντο || 11 και: D sah δε (post ιδοντες); syrs τοτε | ειπον c. ϛKπDEK MUVXΓΔΠ 028 alm, d k syrh dixerunt; BSCL alp Cyr ελεγον, vltm vg syrp dicebant; syrs λεγουσιν | των: f59 Chr om | και πινει c. M 346 544 565
55



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μῶν ; 73β 12 ὁ δὲ Ἰησοῦς ἀκούσας εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν
οἱ ἰσχύοντες ἰατροῦ ἀλλ' οἱ κακῶς ἔχοντες. 13 πορευθέντες δὲ μάθε-
τε τί ἐστιν Ἔλεον θέλω καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δι-
καίους ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.

14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου λέγον- **λα'**
τες· Διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί
σου οὐ νηστεύουσι ; 15 καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ
υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ' ὅσον χρόνον μετ' αὐτῶν ἐστιν ὁ νυμ-
φίος ; ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ
τότε νηστεύσουσιν. 16 Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου
ἐπὶ ἱματίῳ παλαιῷ· αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου
καὶ χεῖρον σχίσμα γίνεται· 17 οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς
παλαιούς· εἰδεμήγε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ

---

**λα'**. *Τῇ Παρασκευῇ τῆς β' ἑβδομάδος Ματθαίου : Μτ 9,14-17.*

13: Ὠσ 6,6 Βασιλ Α 15,22 ΣΣειρ 35,4 Μτθ 18,11. 14-17: Μρκ 2,18-22 Λκ 5,33-38. 14: Λκ 18,12. 15: Ἰω 3,29. 16: Ἰω 1,17.

1316 1555 1689 al grg etc; ςKπ^B S uncrell 773 1417 *425* *437* *442* *Aeg* om ; Tat (k) syrs εσθιετε και πινετε (omissis ο διδ. υμων; k om et. και πινετε) || 12 ιησους c. ςKπCE uncrell alfomn ltt (−d) syrph boh go; BSD 047 248 892 1010 1279 al syrs sah om | αυτοις c ςKπCcEKLMUVΔΘΠ 028 33 565 alm a f h q syrph boh arm grg go; BSC*DX vltm vg syrs sah aeth Hier om | ιατρου : S ιατρων | αλλ' : B (Eus) αλλα || 13 δε : 473 om | ελεον : BSC*D alp ελεος | και ου : g sah μαλλον η | γαρ : a b om ηλθον : F Or εληλυθα | αλλ' : KπBSCDELMUXΓΔΠ 2215 al αλλα | εις μετανοιαν c. KπCEGKLMU VmXΓmΠ 028 773m 1417m alm c g syrhm sah boh Bas Chr; BSDV*WΓ* ΔΣ 1 33 174 372 773 990 1417 al ltt (−c g) syrpht perss arm go grg aeth Bas Hier Aug om || 14 προσερχονται : syrs ερχονται | αυτω : X 1689 syrs om | ιωαννου : D -ανου | πολλα c. ςKπScCDEGKLMUVXΓΔΠ 028 alm syrph sah boh etc; Sc ltt syrs πυκνα; BS* 71 1194 om | μαθηται σου: M σοι μαθηται || 15 και[1] : syrr om | μη : D ltt syrp μητι; 700 Chr ου | οι : L 028 047 660 om | νυμφωνος : D ltt boh grg νυμφιου πενθειν : DW 16 1279 vlt syrphm sah νηστευειν | χρονον c. [Kπ]; ςS rellomn et. 773 1417 2215 *Aeg* om | δε : 028 om | ημεραι : D 1279 prm αι | απαρθη : D 71 al αρθη; 472 παρελθη | νηστευσουσιν : D vltm syrhm add εν εκειναις ταις ημεραις || 16 δε : *437* om | επιβαλλει (Θ post επιβλημα): 348 βαλλει | επι : 517 1391* εν | αυτου : S* om | απο του ιματιου : 773 in mg pon | σχισμα : 1093 prm το | γινεται: syrs add του προτερου || 17 ειδεμηγε : B ειδεμη | ρηγνυνται οι ασκοι : D Tat g k syrsi ρησσει ο οινος τους ασκους | απολουνται c. ςKπCEFGKLMUVXΓΔΛΠ 028 1424 alm vltm arm aeth grg; BS al *437* f vg syrph sah boh go απολ-

56



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινοὺς
καὶ ἀμφότερα συντηροῦνται.
74β [18] Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ ἄρχων **λβ′ ΙΕ′**
τις προσελθὼν προσεκύνει αὐτῷ λέγων ὅτι Ἡ θυγάτηρ μου ἄρτι ἐτε-
λεύτησεν· ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ᾿ αὐτὴν καὶ ζήσεται.
[19] καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.
[20] Καὶ ἰδού, γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη, προσελθοῦσα **Ιϛ′**
ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· [21] ἔλεγε γὰρ ἐν

---

**ΙΕ′. Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου.**
**Ιϛ′ Περὶ τῆς αἱμορροούσης.**

**λβ′**. *Τῷ Σαββάτῳ τῆς ϛ′ ἑβδομάδος Ματθαίου : Μτ 9,18-26.*

18-26: Μρκ 5,22-43 Λκ 8,41-56. 21: 14,36.

λυνται :: D Tat g k syrs ρησσει ο οινος ο νεος τους ασκους και ο οινος απολλυται και οι ασκοι | αλλα βαλλουσιν usque καινους (047 νεους) c. ϛBEFG KLMUVXΓΠ alm q syrph go; ΚπC alp αλλα οι. νε. εις ασκ. βαλλ. καινους; D k βαλλ. δε οι. νε. εις ασκ. καινους; S αλλ᾿ οι. ν. εις ασκ. καινους βλητεον; Δ αλλα βαλλ. οι. νε. εις ασκ. νεους; vltm vg sed vinum novum in utros novos mittunt | αμφοτερα c. ϛΦ 372 etc; Κπ uncfomn 773 1417 2215 Θhy alpm *437 Aeg* etc αμφοτεροι | συντηρουνται : D* a h k q τηρουνται || [18] ταυτα : L 1350 add δε; syrs om | αυτου : 270 om | λαλουντος: 1216 λεγοντος | αυτοις (M τοις οχλοις) : 16 998 1555 om | ιδου : 1293 Tat syrp om | αρχων : Tat syrs αρχισυναγωγος | τις c. CcGHLUΛ 7 245 543 544 713 1689 alm g h k ; [Κπ]BScDKVΔΠc 028 Θhy alm a b c ff1 vg εις; ϛS*C*EMXΠ* 4 69 348 788 alm *Aeg* q (sah) Bas Chr om | προσελθων c. ΚπBS*CcGHLUΛ 13 69 alm a b c ff1 g h k q (sah) ; ϛC*DKVWΔΛ*Πc 028 2 773 778 892 Θhy alm ελθων; Sc(C)EMXΛΠ* 273 700 1417 (εἷς ἐλθὼν) alm *Aeg* Bas Chr εισελθων; 346 *425* lttm προσηλθεν; praeterea CcFGLUΘc 440 543 1689 al add τῳ ιησου (Tat sah αυτῳ) | προσεκυνει : Λ 047 προσεκύνησεν | αυτῳ : 349 517 1424 al αυτον | οτι c. ϛΚπBSEFGKLUVXΓΔΠ 028 alm q syrh go; M 1093 1365 al f ff1 h vg Hil κυριε; SD alm vltm am fu for syrp sah boh arm aeth etc om | αρτι : 157 post ετελευτησεν; 124 713* 1396 om | αλλα: 124 209 482 Θhy alm αλλ᾿ | ελθων : syrs om | σου : Σ 71 1012 a b c l q vg om | επ᾿ αυτην : syrs om || [19] ο ιησους : 174 k post αυτῳ; Θhy om | ηκολουθησεν c. ϛΚπBFGKLUXΓΔΠ 028 alm f k sah boh Bas Chr (EM Θhy *437* -σαν) ; SCD 33 399 1604 alp vltm vg ηκολουθει | και2 : M sah om || [20] αιμορροουσα: S* αιμαροουσα ; Sc αιμοροουσα | ετη (1093 c k ante δωδεκα) : L Tat add εχουσα εν τη ασθενειᾳ | προσελθουσα : 485 726 998 prm και | οπισθεν : 047 syrs om | του κρασπεδου : 1689 Tat a b c g k boh om || [21] εαυτη (L 1574 αυτη) : Θhy add οτι | εαν : 1574 καν | μονον : S* 1574 Tat a h om | αψω-
57



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑαυτῇ Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ σωθήσομαι. 22 ὁ δὲ
Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν εἶπε· Θάρσει, θύγατερ· ἡ πίστις
σου σέσωκέ σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.

23 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν
τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον, 24 λέγει αὐτοῖς· Ἀναχω-
ρεῖτε· οὐ γὰρ ἀπέθανε τὸ κοράσιον ἀλλὰ καθεύδει. καὶ κατεγέλων
αὐτοῦ. 25 ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς
αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. 26 καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅ-
λην τὴν γῆν ἐκείνην.

75ι 27 Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ ἠκολούθη- **λγ΄ ΙΖ΄**
σαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, υἱὲ
Δαυείδ. 28 ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί·
καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι;

---

**ΙΖ. Περὶ τῶν δύο τυφλῶν.**

**λγ΄**. *Κυριακῇ ἑβδόμῃ Ματθαίου : Μτ 9,27-35.*

24: Ἰω 11,11.14.25.

μαι : Λ 157 262 273 1391 1689 al sah add του κρασπεδου || 22 ο δε : D add εστη | ιησους c. ϛKπBScC uncrell et min f ff1 g1 h vg etc; S*D 1555 a b c k q syrs om επιστραφεις c. ϛKπC1 FGKLMUWΓΔΘΠΦ 028 1 28 1424 al; BSD al στραφεις | και ιδων : a b q ιδων; syrs om | θαρσει : syrs μη φοβου | θυγατερ : DGLN θυγατηρ | εσωθη : 713 892 1424 Tat k grg ιαθη || 24 λεγει αυτοις c. ϛKπCEFGKLMUWΓΔΘΠ 028 1424 alm Tat syrsph arm grg; BSD alp Chr ελεγεν; vltm vg etc dicebat; vlt4 dixit | το κορασιον : 331 om | και : syrs οι δε | αυτου : S* Tat sah add ειδοτες οτι απεθανεν || 25 εξεβληθη (Θhy εξεβη) ο οχλος : Tat εξεβαλεν τον οχλον | εισελθων: D 1424 1675 a b k q syrs ελθων | της χειρος : D την χειρα | και : 440 δε (post ηγ.) | ηγερθη : 13 319 1689 alm syri ηγειρεν | το κορασιον : Tat syrs ευθυς; h ευθυς το κορασιον || 26 αυτη : SCΘΣ 1 33 118 124 157 syri boh αυτης; D 71 348 655 1424 Θhy sah αυτου || 27 εκειθεν : 713 945 954 post ιησου; syrs om | αυτω c. ϛKπSCEFGKLMUΓΔΠ 028 alm; BD al k Chrmo om | κραζοντες : S κραυγαζοντες | και λεγοντες: syrs φωνη μεγαλη; C*L 13 69 983 al a k om | ημας: N 472 713 826 1010 1579 1689 alm grg add κυριε | υιε c. ϛKπSCcDEFKLMΓ 028 alpm Chr; BGUΠ 773 2215 alpm *425 442 Aeg* psAth Dam (ὁ) υιος || 28 ελθοντι δε (773 *425* add αυτω) : S*NΣ grg εισελθοντι δε; Λ 262 1582 Θhy Chr ελθοντος δε αυτου :: D a b c etc k και ερχεται εις την οικιαν και | την οικιαν : 1424 1675 τον οικον | προσηλθον : B προσηλθαν | οι : S*D 1579 1588 Tat a b h syri add δυο | τυφλοι : Φ add δεομενοι | ο (S* om) ιησους : 251 syrs om | δυναμαι τουτο c. ϛKπScCcDEFGKLMUΓΔΠ 028 alfomn vltm am fu for etc; B 1 q vg' τουτο δυναμαι; S* vlt7 vg' arm δυναμαι υμιν τουτο

58



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγουσιν αὐτῷ· Ναί, Κύριε. ²⁹ τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν
λέγων· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. ³⁰ καὶ ἀνεῴχθησαν
αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· Ὁ-
ρᾶτε, μηδεὶς γινωσκέτω. ³¹ οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅ-
λῃ τῇ γῇ ἐκείνῃ.
³² Αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ προσήνεγκαν αὐτῷ ἄν- ΙΗ΄
θρωπον κωφὸν δαιμονιζόμενον· ³³ καὶ ἐκβληθέντος τοῦ δαιμονίου
ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες ὅτι οὐδέποτε
ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. ³⁴ οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν τῷ ἄρ-
χοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.
76β ³⁵ Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας
διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον
τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν
τῷ λαῷ. 77ς ³⁶ Ἰδὼν δὲ τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ λδ΄

---

**ΙΗ΄. Περὶ τοῦ δαιμονιζομένου κωφοῦ.**

**λδ΄**. *Τῇ Δευτέρᾳ τῆς γ΄ ἑβδομάδος Ματθαίου: Μτ 9,36-10,8. — Ὀκτ. 9. Ἰακώβου τοῦ Ἀλφαίου ἀποστόλου, τὸ αὐτό. — Ἰουν. 30. Τῶν δώδεκα ἀποστόλων: Μτ 9,36. 10,1-8. — Εἰς ἀποστόλους, τὸ αὐτό.*

29: 8,13. 30: 8,4. 34: 12,24. 35: 4,23. 36: 14,14 Μρκ 6,34 Ἀριθ 27,17 Ἰεζκ 34,5.

| κυριε : syrs add πιστευομεν || ²⁹ οφθαλμων : D ομματων | λεγων : D 1 d h syrsp και ειπεν | υμων, υμιν : Ir Clm Or σου, σοι | και¹: Φ 124 1093 Tat a g h syrspi grg add παραχρημα || ³⁰ ανεωχθησαν : BD 33 ηνεωχθησαν; C* ηνοιχθησαν αυτων : D post οφθαλμοι; S om | ενεβριμησατο c. ϛKπBcCDEFKL MUWΓΔΠ 028 uncm 33 1689 alm; B*S 1 22 118 ενεβριμηθη | αυτοις : 16 1555 om | ὁ : D om | μηδεις γινωσκετω : syrs ινα μηδενι ειπητε || ³¹ εν ολη (S* syrs om) τη γη : 713 a c g h l εις ολην την γην || ³² αυτων δε εξερχομενων (F διεξερχομενων, 1424 εξελθοντων) : 892 εξερχομενων δε αυτων | ιδου : 440 700 Tat syrs grg om | ανθρωπον c. ϛKπCDEFGKLMUΓΠ 028 alm ltt go syrh arm; syrs add τινα; BSΔ 788 892 al Tat syrp sah boh aeth om | κωφον : a b c f g h q add και μογιλαλον | δαιμονιζομενον : Λ 1424 prm και || ³³ οτι c. ϛKπVΘ 659 892 1194 1402 1424 1675 al arm; BSCD uncrell 773 1417 Θhy alpm *425 437 442 Aeg* vltm vg etc om | τω : D* om || ³⁴ : D Tat a k syrs Hil om v. || ³⁵ ο ιησους: 1579 Chr om | πασας : 773 syrs om | και²: S om | βασιλειας: 157 add του θεου | εν τω λαω c. ϛKπS*CcEFGKLMUXΓ ΘΠ 16 28 1010 1424 1689 alm c g¹ tol gat arm grg (S* insuper add και ηκολουθησαν αυτω, LΛΦ 273 348 543 713 1424 1689 al a b ff² g h add και πολλοι ηκολουθησαν αυτω); BScC*DΛ 028 alm vltm vg syrsph sah boh go aeth al Chr om || ³⁶ οχλους: CGMΣ 157 399 543 1012 1293 1689 al g syrpht*i
59



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐρριμμένοι ὡσεὶ πρόβατα μὴ ἔ-
χοντα ποιμένα. 78ε [37] τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· Ὁ μὲν θε-
ρισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· [38] δεήθητε οὖν τοῦ κυρίου τοῦ
θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

79β ***10*** [1] Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ
ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν
αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

80β [2] Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦ- **ΙΘ΄**
τα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐ-
τοῦ· Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ· [3] Φί-
λιππος καὶ Βαρθολομαῖος· Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης· Ἰάκω-

---

**ΙΘ΄. Περὶ τῆς τῶν Ἀποστόλων διαταγῆς.**

*Νο. 1. Κοσμᾶ καὶ Δαμιανοῦ ἀναργύρων: Μτ 10,1.5-8. — Νο. 17. Γρηγορίου Νεοκαισαρείας, τὸ αὐτό. — Ἰαν. 31. Κύρου καὶ Ἰωάννου ἀναργύρων, τὸ αὐτό. — Φε. 11. Βλασίου ἱερομάρτυρος, τὸ αὐτό. — Ἰουν. 28. Κύρου καὶ Ἰωάννου ἀναργύρων ἀνακομιδῆς, τὸ αὐτό. — Ἰουλ. 1. Κοσμᾶ καὶ Δαμιανοῦ ἀναργύρων, τὸ αὐτό.*

37: Λκ 10,2.

*10*, 1-15: Μρκ 6,7-13 Λκ 9,1-5. 2-4: Μρκ 3,14-19 Λκ 6,13-16 Ἰω 1, 40-49 Πρξ 1,13.

add ο ιησους | ε(υ)σπλαγχνισθη: 954 add τι | περι αυτων: 659 *437* επ' αυτους | ησαν: 118 om | εκλελυμενοι c. ςKπLV 1194 1424 alm; Eὐ1588BSCDEFGKM UXΓΔΠ 028 773 1417 2215 Θhy alpm *Aeg* Bas Chr al εσκυλμενοι (ltt vexati, d fatigati) | ερριμμενοι c. ςKπEFGKUXΓΔ 028 etc; BSCD^c 126 *184* εριμμενοι; D* ρεριμμενοι; L ερημενοι; M ερρηγμενοι | ωσει c. ςBS etc; KπCD FLMΣ 33 265 399 544 565 788 892 1417 1424 2215 Θhy *437 Aeg* ως || [37] τοτε: Tat syrp και | δε: sah om || [38] του κυριου: D* τον κυριον | εργατας: a add αυτου.

*10*, [1] προσκαλεσαμενος: LΘ^c al h add ο ιησους | δωδεκα: 892* *Aeg* om | μαθητας: syrs om | κατα c. EL 27 348 954 998 1012 1375 1689 alm grg; ςKπBS uncrell 773 1417 2215 Θhy *425 437 442 Aeg* om | εκβαλλειν: CD 7 273 1424 1573 al εκβαλειν | μαλακιαν: L 7 157 273 b g Cyr add εν τω λαω || [2] δε: D* 245 346 788 Θhy al om | αποστολων: syrs μαθητων | εστι c. ς etc; KπL 157 245 485 788 990 2215 Θhy alm *437* εισι | ταυτα: 1170 om | ο λεγομενος: 1293 ο επικληθεις; syrs om | ιακωβος c. ςKπS^cCDEFGKLMUV XΓΔΠ 028 alfomn ltt etc; BS* 661 Θhy d syrsphmi prm και || [3] ματθαιος: B*SD μαθθαιος :: M 1424* om θωμας usque τελωνης | και λεββαιος ο επικληθεις θαδδαιος c. ςKπC^cEFGKLMUVXΓΔΠ 028 alm syrphi arm grg aeth; D k (Orint) Augedd (Hesych) και λεββαιος; 122 λεββαιος; BSC 17 69 124 788 892 al c ff^1 g^2 vg sax fr sah boh και θαδδαιος; a b g h q ιου-

60



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βος ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος· 4 Σίμων
ὁ κανανίτης καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν.

81ι 5 Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας
αὐτοῖς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρει-
τῶν μὴ εἰσέλθητε· 6 πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπο-
λωλότα οἴκου Ἰσραήλ. 7 Πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι
Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. 82β 8 Ἀσθενοῦντας θεραπεύε-
τε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρε-
ὰν ἐλάβετε, δωρεὰν δότε. 9 Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄρ- **λε´**
γυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, 10 μὴ πήραν εἰς ὁδόν, μηδὲ
δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον· ἄξιος γὰρ ὁ ἐργάτης τῆς

---

**λε´**. *Τῇ Τρίτῃ τῆς γ´ ἑβδομάδος Ματθαίου: Μτ 10,9-15.*

6: 15,24 Πρξ 13,46 Ἰερμ 50,6. 7: 4,17 Λκ 10,9. 8: Πρξ 20,33. 10: Λκ 10,4 Τιμ Α 5,18 Ἀριθ 18,31.

δας ο ζηλωτης; (Tat) syrs ιουδας ιακωβου || 4 ὁ 1 : Θhy om | κανανιτης c. ϛKπ SEFGKMUVWXΓΔΘΠ 028 1689 alm syrh sah al Chr; BCL alp vltm(et. δ) vg boh καναναιος; D vlt4 Orint χαναναιος | ιουδας: S* prm ὁ | ὁ2 c. ϛeKπ BS*DKMΔΠ 028 alm Chr; ϛScCEFGLUVXΓ alm Θhy *437 442* om | ισκαριωτης c. ϛKπBSEFGKLMUVXΓΔΠ 028 etc; D f k l am fu for syrr arm σκαριωτης; C 1424 a b c g h (ff) σκαριωθ, scarioth, carioth | ο και παραδους (ScFXΔ 28 παραδιδους): L 1424 *437* Tat ltt Or ος και παρεδωκεν || 5 απεστειλεν: F αποστειλας | παραγγειλας αυτοις (Σ om): 945 1642 om | λεγων : D ltt (– ff l) prm και; S* 1424 om | πολιν: 1354 χωραν | σαμαρειτων c. ϛKπBΞK MUXΓΔΠc(FV 028 e silent) alm; SCDcGLΠ* al σαμαριτων (S constanter σαμαριται, σαμαριτις, σαμαρια); D* (ltt) σαμαριτανων || 6 πορευεσθε : D υπαγετε | δε: D Tat k om | μαλλον: syrs om || 7 οτι (B Tat syrs om) : 251 1604 sah add μετανοειτε | ηγγικε : ΝΟΣ 267 *425* add εφ’ υμας || 8 νεκρους εγειρετε h. l. c. ϛ[Kπ] min (et. 773m) syrp; BSC*D (-ρα-, :: D θεραπευσατε, εγειρατε, καθαρισατε, εκβαλετε) al *Aeg* a b c ff1 g h k l q vg sax fr syrs boh aeth Cyr Chr Hil ante λεπρους; PΔ alp syrh Chr post εκβαλλετε ; ScCcEFGKLMUVXΓΘΠ 028 118 372 700 773t 788 1417 2215 Θhy alpm *425 437 442* syrp sah arm grg’ Eus Bas Chr om εκβαλλετε: D 273 349 1424 εκβαλετε || 9 μηδε1 2 : DL(ΘΣ) 7 157 (273 565 1424 al) 1689 Θhy (1ο l.) alp μητε | αργυρον: *437* αργυριον || 10 μη: D 700 Tat k sah boh (565 998 1375 al syri) μητε | μηδε1: Θhy *Aeg* μητε | ραβδον c. ϛKπBSD 1 33 118 al b c f ff1 g1 h l q δ vg syrsp(h) sah arm aeth Eus Chr Hil ; CEFGKLMPUVXΓΔ Π 028 21 565 700 773 1417 1689 2215 Θhy alpm k etc ραβδους (a b c g h q add in manibus vestris) | της τροφης: KM 565 892 1012 1093 1402 1675* alm *Aeg* grg του μισθου | εστιν h. l. c. ϛEFGKMPUVXΓΔΠ 028 alm arm ;
61



ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ

τροφῆς αὐτοῦ ἐστιν. 83β [11] Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε,
ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε·
84ε [12] εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν· [13] καὶ ἐὰν
μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ
ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω· 85β [14] καὶ ὃς ἐὰν μὴ
δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας
ἢ τῆς πόλεως ἐκείνης ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν·
[15] ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρ-
ρων ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.

86ε [16] Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λϛ'

---

**λϛ'.** *Τῇ Τετάρτῃ τῆς γ' ἑβδομάδος Ματθαίου: Μτ 10,16-22. — Σε. 15. Νικήτα μάρτυρος, τὸ αὐτό. — Φε. 8. Θεοδώρου στρατηλάτου, τὸ αὐτό. — Ἰουν. 8. Θεοδώρου στρατηλ. ἀνακομιδῆς, τὸ αὐτό. — Αὐγ. 1. Μακκαβαίων, τὸ αὐτό. — Εἰς γυναῖκας ὁσιομάρτυρας, τὸ αὐτό.*

12: Λκ 10,5-6. 14: Λκ 10,10 12 Πρξ 13,51. 18,6. 15: 11,24 Λκ 20,47. 16: Γεν 3,1 Λκ 10,3 Ἰω 10,12 Πρξ 20,29 Ρωμ 16,19 Ἐφ 5,15.

ΚπD alp *437* vltm vg post γαρ; BSCL Θhy alp h sah boh Thphyl Hint om || [11] εις ην δ' αν πολιν: D η πολις εις ην | η κωμην: D 1 118 209 604 700 al a b ff[1] h k syrs om | εισελθητε: D add εις αυτην | εξετασατε : 157 add πρωτον | εστι: L om | μεινατε: X 28 μενετε | εως αν εξελθητε: ΝΟΣ 1293 c add εκειθεν; X Ambr om || [12] ασπασασθε: 1293 ασπαζεσθε | αυτην : ΚπS*DLWΦ 1 7 209 265 273 346 713 1402 1417m 1424 alm *437* vlt syri arm grg add λεγοντες ειρηνη τῳ οικῳ τουτῳ; 2215 λεγοντες tantum || [13] και : D om | μεν : 349 1424 a b c etc k om | ελθετω c. ϛΚπBEFGKMPUXΓΔΠ etc; SCL 13 33 346 al ελθατω; D syrs εσται; V 028 28 235 245 998 1375 2215 alm *Aeg* εισελθετω | εαν δε μη η αξια: D syrs ειδεμηγε | προς: BS 174 372 892 1293 1604 al εφ' | επιστραφητω: 983 αναστραφητω, 700 998 *437* αποστραφητω, 1093 επιστρεφετω, 235 επιστρεψει || [14] εαν: BSDKL alm *437* αν | ος, δεξηται, ακουση : LΣ b c g h k οσοι, δεξονται, ακουσωσιν | τους λογους : 1191 των λογων | της[1] c. ϛEFNWΔ uncrell 21 565 700 alm arm; L al prm εκ; ΚπBSD 2215 al *437* ltt boh aeth prm εξω | οικιας ἢ της: D om | ἢ της πολεως : S 348 543 892 983 al sah boh ἢ πολεως ἢ κωμης | τον: 71 prm και | των c. ϛΚπBDLW ΔΘ uncrell 28 565 700 alm; SC al ltt syrh arm prm εκ || [15] αμην bis c 1 118 209 660 etc; ϛΚπ rell et. *437* *442* αμην semel, quo L 565 add γαρ | και γομορρων c ϛBEFGKUVXΓΔ 028 alm a b c f g[1] q vg Bas Chr; SC 157 399 1293 al και γη γομορρων ; ΚπDLMP 2215 alm *437* *Aeg* ff[1] h k Chrmntf et mo και γομορρας; Θhy ἢ γομορρας | ημερᾳ: D prm τῃ || [16] εγω: 1207 om | εν μεσῳ: B εις μεσον | ουν: k om | ως οἱ: L 213 245 700 998 1207 1689 alm Tat ωσει | οι οφεις: S ο οφις | ακεραιοι: D απλουστατοι | ως αι: LX 245
62



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστε-
ραί· 87α 17 προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑ-
μᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς·
18 καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρ-
τύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. 88β 19 ὅταν δὲ παραδιδῶσιν ὑμᾶς,
μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ
ὥρᾳ τί λαλήσητε· 20 οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦ-
μα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. 21 Παραδώσει δὲ ἀδελφὸς
ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα
ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. 22 καὶ ἔσεσθε μισούμενοι ὑ-
πὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθή-
σεται. 89ι 23 Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, **λζ'**
φεύγετε εἰς τὴν ἄλλην· ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πό-
λεις τοῦ Ἰσραὴλ ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.

---

**λζ'**. *Τῇ Πέμπτῃ τῆς γ' ἑβδομάδος Ματθαίου: Μτ 10,23-31.*

17-22: Μρκ 13,-913 Λκ 21,12-17. 17: 24,9. 18: 24,14 Πρξ 25,23. 27,24. 19: Λκ 12,11-12. 20: Ἰω 14,26 Κορ Α 2,4. 21: 10,35 Μιχ 7,6. 22: 24,9.13 Ἰω 15,21. 16,1-2. 23: 16,28. 24: Λκ 6,40 Ἰω 13,16. 15,20.

ωσει || 17 εν ταις συναγωγαις: D εις τας συναγωγας || 18 ηγεμονας : D ηγεμονων | δε και βασιλεις: D om | αχθησεσθε: D 485 vlt syrs Ir Nov Oi σταθησεσθε; arm grg αξουσιν υμας || 19 παραδιδωσιν c. ϛCE$^c$FKMUVΓΔΠ 028 alm *442* (-δί ); KπDGLWXΣ 33 157 213 251 788 1424 Θhy alm *425* παραδωσουσιν, vlt8 vg tradent; BSE* alp d f g$^1$ k Cyp al παραδωσιν | πως η : Tat a b k syrsi' om ωρᾳ c. ϛKπBSEFGKMUVXΓΠ 028 alpm; C* syri boh ημερᾳ :: Pro εν εκ. τη ω(ημε)ρᾳ 2215 τοτε | λαλησητε$^1$: KπKΓ 71 265 349 773 998 1355 1417 2145 2215 al *437 442* λαλησετε | λαλησητε$^2$ c. BSCEFGKXΓΠ$^c$ alpm; ϛKπKMUXΓΠ*Σ 028 047 71 399 440 660 1293 2215 Θhy alpm *437 442* λαλησετε; DL 954 al10 k flor harl* arm Or Orint Cyp' om δοθησεται usque λαλησητε || 20 υμων: D sah Or Θby *442* om || 21 τεκνον: syrs add εις θανατον | επαναστησονται: BΔ 700 1093 επαναστησεται || 23 οταν: 1170 Or εαν | διωκωσιν: 485 εκδιωκωσιν | εν τη πολει ταυτη: 157 544 660 1012 Tat grg εκ της πολεως ταυτης | φευγετε εις την αλλην c. ϛKπCEFGKMUVXΓΔΠ 028 alm Clm 597 etc; item alterutrum vlt4 vg syrph boh go aeth; BS al Or Peal Ath Cyr φευγετε εις την ετεραν; DL 1 124 565 2215 alm a b g$^1$ h k q gat mm syrs arm grg Or' Ef φευγετε εις την ετεραν (DL 247 αλλην) καν (D εαν δε) εν τη ετερᾳ (D εν τη αλλη, L 2215 al Or 1,295 εκ ταυτης) διωκωσιν (D διωκουσιν, L 247 εκδιωξουσιν) υμας (Or1,380 παλιν) φευγετε εις την αλλην | γαρ: DM 157 565 700 al vltm vg sah boh arm aeth Ef al om | του$^1$: BD om |
63



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

90γ 24 Οὔκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον οὐδὲ δοῦλος ὑπὲρ
τὸν κύριον αὐτοῦ· 25 ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκα-
λος αὐτοῦ, καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ· 91ι εἰ τὸν οἰκοδεσπό-
την Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ;
92β 26 Μὴ οὖν φοβηθῆτε αὐτούς· οὐδὲν γάρ ἐστι κεκαλυμμένον ὃ
οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. 93ε 27 ὃ λέ-
γω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε,
κηρύξατε ἐπὶ τῶν δωμάτων· 28 καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτει-
νόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε
δὲ μᾶλλον τὸν δυνάμενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν
γεέννῃ. 29 οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν

---

25: 12,24. 26-33: Λκ 12,2-9. 26: Μρκ 4,22 Λκ 8,17. 28: Ἰακ 4,12.

